εἶναι φιλοπότην αὐτόν. ΣΩ. οὐδαμῶς γ', ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.
ΞΑ. Νικόστρατος δ' αὖ φησιν ὁ Σκαμβωνίδης
εἶναι φιλοθύτην αὐτὸν ἢ φιλόξενον.
ΣΩ. μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
ΞΑ. ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν·
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ,
ἐρᾷ τε τούτου, τοῦ δικάζειν, καὶ στένει,
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται,
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
τὸν τοῦ Πυριλάμπους ἐν θύρᾳ "Δῆμον καλὸν,"

non Δέρκυλλος, ut scribitur Arg. Dem. Or. XIX. alibi. Cf. Dem. p. 360, 1. Δέρκυλλος (Δερκύλος libri plures optimi). Aeschin. II. 147. Δέρκυλλον (Δέρκυλον alii). II. 165. Δέρκυλλον (Δέρκυλον et Δερκύλον al.). Δερκυλίδας etiam potius quam Δερκυλλίδας scribendum esse recte videtur judicare L. Dind. ad Xen. Anab. V. 6. 24. Nisi forte vera scriptura hic est Δερκέτην aut Δέρκετον (Ach. 1028. Δερκέτου Φυλασίου).

80. ἐστιν ἀνδρῶν R.S.V. ἀνδρῶν ἐστὶν B.C. Ald.

83. κύν'] δί' (supr. κύν') B.

85. ΞΑ. praef. C.R.S.V. om. B.

87. Hunc versum spurium esse judicat Hirschig. Ann. Crit. p. 69. Non enim dominum, qui per totam fabulam filius dicatur, aegrotare, sed patrem.

89. τούτου] Suspectum. Nisi glossema est τοῦ δικάζειν. Cf. ad 98.

90. 'πὶ om. R.S.V. καθίζηται] καθέζηται Elmsl. n. ms. Bergk. Fortasse recte. Sed cf. Eq. 750. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ.

91. ὁρᾷ] ἐρᾷ R. πασπάλην] Fort. παιπάλην (Nub. 260. 262), vel πάτταλον (Eccl. 284. ἔχουσα μηδὲ πάτταλον).

92. οὖν C.R.S.V. αὖ B. καταμύσῃ B.C.S.V. Br. καταμύσει Ald. καταμηνύσῃ R. ἐκεῖ] ἔτι Hecker. (Mnem. l. l.)

93. πέτεται B.R.S.V. Scal. πέταται Ald.

94. τὴν ψῆφόν γ' ἔχειν B.R. τὴν ψῆφον ἔχειν γ' S.V. τὴν ψῆφον φέρειν conj. Herm. τὴν ψῆφον δέφειν C. F. Herm. τὴν ψῆφον κατέχειν Hirschig. τῶν ψήφων ἔχειν (ut τῶν λίθων Ach. 183) Dobr.

97. ἢν B.C.R.S.V. Bentl. Br. ἂν Ald.

98. τὸν B.C. vulg. Bekk. υἱὸν R.S.V. Dind. Hirsch. Bergk. Mein.

ἰὼν παρέγραψε πλησίον "κημὸς καλός."
τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδεν ἑσπέρας, ἔφη
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον,
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας,
κἄπειτ' ἐκεῖσ' ἐλθὼν προκαθεύδει πρῷ πάνυ,
ὥσπερ λεπὰς προσεχόμενος τῇ κιγκλίδι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν
ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ὑποπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτέ,
ἵν' ἔχῃ δικάζων, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν

Richt. τὸν τοῦ Bentl. Recte, opinor. Ex interpretatione irrepsit υἱόν. Cf. ad 7. Δῆμον καλόν] An potius "Δῆμος καλὸς," ut est in Hesychii glossa? Mox nominativus est Κημὸς καλὸς, ut in Ach. 145. Ἀθηναῖοι καλοί. Δῆμον καλὸν scripsit fortasse librarius per appositionem propter praecedentem accusativum.

99. ἰὼν C.R.S.V. ἰδὼν B.

100. ὅς] ὡς Hamaker. Mein. conj. Bergk. ᾖδ' R.S.V. ᾖδεν B.C.Δ. ἀφ' R.S.V. Elmsl. n. ms. Bekk. Bergk. Richt. ἐφ' B.C. vulg. Dind. Mein. Qu. ὃς (vel ὅτι) ᾖδεν ἑσπέρας. Cf. 1401. ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας. Nub. 613. ἐξιόντας ἑσπέρας. 175. Pac. 228. θυείαν ἑσπέρας . . . εἰσηνέγκατο. 795. 1151. Av. 1054. 1487. Eccl. 56. 406. Lys. 409. Ach. 616. &c.

101. ὄψ' ἐξεγείρειν C.R.S.V. Bekk. &c. ὡς ὄψ' ἐγείρειν B. vulg.

102. παρ' αὐτῶν S.

103. δ' add. R.S.V. om B.C. Ald. δορπιστοῦ S.V. κέκραγ' S.

104. πρῶι B.C. πρωΐ V. πρῷ Atticis semper est monosyllabum. Cf. Av. 129. 132. Lys. 612. 1065. Eccl. 290.

105. προσεχόμενος vulg. προσισχόμενος rhythmi gratia Hirsch. Mein. Richt. Dind. Cf. Pl. 1096. ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται. τῷ κίονι vulg. "Cuinam columnae?" rogat Reisk. Annon τῇ κιγκλίδι? Cf. omnino 124. ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι. 775.

107. μέλιττα βομβυλιὸς Tyrwhitt. Fortasse recte.

108. ἀναπεπλασμένος R.S.V. et v. l. ap. schol. Inv. Bekk. &c. ὑποπεπλασμένος B.C. vulg.

109. ψῆφον B. δήσας R.

110. ἔχῃ C. vulg. Bekk. ἔχοι B.R.S.V. Inv. Dind. Bergk. Mein. Hirsch. Richt. Verum est, ni fallor, ἔχῃ. Cf. 70. Saepe in libris confunduntur optativus et subjunctivus. Vide ad Pl. 438. ποῖ τις φύγῃ (φύγοι libri); Eq. 1324. Pac. 437. Av. 634. 1524. Lys. 792. δικάζειν vulg. δικάζων Lenting. prob. Mein. Calculos enim habuisse non quo judicare possent, sed quo judicantes suffragium ferre possent. Recte, opinor.

111. τοιαῦτα λύει S. Qu. τοιαῦτα φλύει (Prom. 504).

μοχλοῖσιν ἐγκλήσαντες, ὡς ἂν μὴ ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ'· ὁ δ' οὐ μάλα.
μετὰ τοῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ τυμπάνῳ
ᾄξας ἐδίκαζεν ἐς τὸ Καινὸν ἐμπεσών.
ὅτε δὴ δὲ ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν, εἶτα ξυλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ·
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρίεμεν·

113. ἐγκλείσαντες B.C. vulg. Reisig. (Conj. p. 210.) ἐνδήσαντες R.S.V. Junt. 2. Bekk. &c. Legendum ἐγκλήσαντες. Μοχλοῖς ἐγκλήειν, non ἐνδεῖν dicebant. De forma Attica κλήειν v. ad Eq. 1316.

118. κακάθαιρ' V. κακκάθαιρ' R. Junt. κακκάθηρ' S. καὶ κάθαιρε B.C. καὶ 'κάθαιρε Ald. κἀκάθαιρε (aut κᾀκ.) H. Steph. Reisig. Conj. p. xviii. Br. ὁ δ' οὐ μάλα R.S.V. Junt. 2. Bekk. &c. καὶ μάλα B.C. vulg. De καὶ μάλα v. Elmsl. ad Her. 387. Qu. κἀκάθαιρεν εὖ μάλα.

119. ταῦτ' B.C. vulg. τοῦτ' S.V. Inv. Bergk. τοῦδ' R. μετὰ τοῦτ' prob. Fritzch. ad Thesm. 655, qui (post Reisig. Conj. p. 222) μετὰ ταῦτα de temporis consecutione dici in universum; μετὰ τοῦτο autem ad unam rem certam, quae proxime praecesserit, spectare monet. Hic autem singulas res enumerari, 115-7, 118, 119. Contra μετὰ ταῦτα, inquit, aut simpliciter valet *postea*, aut complura antecessisse indicio est, ut in Nub. 61. Pac. 72.

120. ᾄξας C. ἐς B.C. vulg. εἰς R.S.V.

121. ὅτε δὴ δὲ B. vulg. Mein. ὅτε δὲ C. ὅτε δῆτα R.S.V. Reisig. Conj. p. 228. Bekk. Hirsch. Bergk. Richt. Dind. prob. Mein. Vulgata revocanda est. Cf. Eccl. 315. Lys. 523. Ach. 10. ταῖς ταύταις C.

122. συλλαβὼν B.C.S. vulg. ξυλλαβὼν R.V. Dind.

124. ἐνεφάνη S. γιγγλίδι S.V. in textu et in schol.

125. ἐξεφρειόμεν B.C. (ō in ras.) vulg. Dind. Bergk. Mein. Richt. ἐξεφρίομεν R.S.V. Bekk. ἐξεφροῦμεν ἂν dubitanter Porson. ἐξέφρει μόνον conj. Mein. ἐξέφρει * * etiam Cobet. ἐξεφρίεμεν Nauck. Dind. unice prob. Mein. ἐντεῦθεν οὖν ὁ μὲν αὐτὸν οὐκέτ' ἐξέφρει, vel ἐντεῦθεν οὐκέτ' οὐδαμόσ' αὐτὸν ἐξέφρει Dobr. ἐντεῦθεν οὖν ὁ μὲν οὐκέτ' αὐτὸν ἐξέφρει Herw. Ex. Crit. p. x. "ἐξεφρειόμεν pro ἐξεφρέομεν dictum non inventum quidem alibi est, sed tamen facilius explicari potest quam ἐξεφρίομεν." DIND. Formam ἐξεφρειόμεν ut prorsus singularem merito notat Buttmannus (Irreg. Verbs, p. 259). Erunt fortasse quibus poetica forma videatur φρείω, ut ῥεῖα, φρεῖαρ, κάνειον, χρύσειος, κείω, βλείω, alia. Sed istiusmodi forma in comico scriptore Attico nequaquam toleranda est. Qu. ἐξαφίεμεν. Vel ἐξέφρει δόμων. (Sic Lys. 707. ἐξελήλυθας δόμων. Ach. 450. ἀπωθοῦμαι δόμων. 456. κἀποχώρησον δόμων. Eccl. 11. ἐξείργει δόμων. &c.) Vel ἐντεῦθεν αὐτὸν ἐξεφροῦμεν οὐκέτι. Sed

ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορροῶν
καὶ τῶν ὀπῶν. ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
ἐπεβύσαμεν ῥακίοισι κἀπακτώσαμεν·
ὁ δ' ὡσπερεὶ κολοιὸς αὑτῷ παττάλους
ἐνέκρουεν ἐς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ φυλάττομεν.
ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων
ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῳδὶ Βδελυκλέων,
ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ Ξανθία καὶ Σωσία, καθεύδετε;
ΞΑ. *οἴμοι.* ΣΩ. *τί ἔστι;* ΞΑ. *Βδελυκλέων ἀνίσταται.*
ΒΔ. *οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἅτερος;*

verissima est palmaria Nauckii emendatio *ἐξεφρίεμεν*. Scilicet *φρίημι* contractum est ex *προίημι*, ut *φροῦδος* ex *πρὸ* et *ὁδός*. Similiter *φρὲς* ex *πρόες* (cf. *ἄφες, μέθες*, &c.), *φρήσω* ex *προήσω* (cf. *ἀφήσω, μεθήσω*, &c.).

126. *ὑδροροῶν* R.

128. *ἐνεβύσαμεν* vulg. Qu. *ἐβύσαμεν*. (Cf. ad Ach. 463. Pac. 645.) Vel *ἐπεβύσαμεν*. (Pl. 379. *τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων*.)

130. *εἰς* libri. *ἐς* Dind. *ἐξήλλετο* B.C.R. *ἐξήλετο* S.V.

133. *ἔστιν*] *ἐστὶ* V. 134. *τῳδὶ* R.S.V. *τῶδε* B.C. Ald.

135. *φρυαγμοσεμνάκους τινὰς* S.V. (s. Bekk.) Suid. s. h. v. Br. *φρυαγμοσεμνακουστίνας* V. (s. Cob.) *φρυαγμοσεμνακουστίνους* C.R. Junt. Reisk. *φρυαγμοσεμνακουστικοὺς* (vel *-ακουσίμους*) frustra conj. Mein. *ὀφρυαγμοσεμνακουστίνους* B.Δ. Ald. Latet mendum. Reponendum forsan *φρυαγμοσέμνακάς τινας*. (Cf. Nub. 333. *ἄνδρας μετεωροφένακας*.) Aut *σεμνοφρυανασπάστους τινὰς*, aut *ὀφρυοσυναγοσέμνους τινάς*. (Cf. Cratin. com. II. 214. *ἀνελκταῖς ὀφρύσι σεμνόν*. Amphid. III. 305. *σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς*. *Ὀφρῦς ἀνασπᾶν* est Ach. 1069. et alibi. *Ὀφρυάζειν* dixit Amipsias II. 712.) Cum forma *σέμναξ* conferre licet *φέναξ, στόμφαξ* (Nub. 1367), *σύρφαξ, θαλάμαξ, Δῆμαξ* (unde *Δημακίδιον* Eq. 823), *πλούταξ* (Eupol. Menand.), *θύνναξ, λάβραξ, στύππαξ* (Fr. 540), *τύραξ, κώμαξ, μόθαξ, ψίλαξ* (Fr. 705), *μούσαξ, φλύαξ, σκαίαξ, φαίαξ, νέαξ* (Nicoph.), *βώμαξ, φόρταξ* (*bajulator*, Poll. 7, 131), *λείαξ, βώλαξ, λίθαξ, πλάταξ, μύλαξ, θύλαξ, μάλαξ* (unde *βλὰξ*), *κνώδαξ, ῥόδαξ, βόαξ, χάσκαξ, χλεύαξ, στύλαξ, ῥύαξ, λάλαξ* (Phot. p. 213, 11), *στύγναξ, σύβαξ, πόρταξ, στρατύλλαξ* (Cic.), *ἀποπάρδαξ* (Hesych.), et Latina *furax, bibax, edax, fallax*, &c. Vide etiam Add. Hunc versum temere post v. 110 transponit Mein.

136. ante 138. transponit Hamaker.

137. ΣΩ. *τί ἔστι;* ΞΑ. *Βδελυκλέων*] ΣΩ. *τί ἔσθ';* ΞΑ. *ὁ δεσπότης* corr. Hirschig. Ann. Crit. p. 70, quum servos solum nomen domini memorare minus decorum sit. *ἐστι* B.C.

138. *περιδραμεῖτε* B. *περιδραμεῖσθον* C. *ἅτερος* B.R.V. *ἕτερος* C.

ὁ γὰρ πατὴρ ἐς τὸν ἰπνὸν εἰσελήλυθε
καὶ μυσπολεῖ ποι καταδεδυκώς. ἀλλ' ἄθρει
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. ΞΑ. ταῦτ', ὦ δέσποτα.
ΒΔ. ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;

ΦΙΛΟΚΛΕΩΝ.

καπνὸς ἔγωγ' ἐξέρχομαι.
ΒΔ. καπνός; φέρ' ἴδω, τίνος ξύλου σύ; ΦΙ. συκίνου.
ΒΔ. νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐ γὰρ ἐκδύσει γε, ποῦ 'σθ' ἡ τηλία;
δύου πάλιν. φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.

139. εἰς B.C.R.V. vulg. ἐς Dind. &c. εἰσελήλυθε C. εἰσελήλυθεν B.R. vulg. ἐξελήλυθεν V. ἐξελήλυθε S.

140. ΟΙ. ναὶ μυσπολεῖ τις κατ. ΒΔ. ἀλλ' ἄθρει . . . REISK. μῦς πολεῖ V. τις C. Pors. τὶς R. τι B.S.V.Δ. Br. recc. γ' ὅστις P. Ald. τις ὅστις Junt. γε vel τις Bentl. Verum videtur ποι aut πῃ, quod facile in τι depravari poterat. Cf. v. 396. μῶν ὁ γέρων πῃ διαδὺς ἔλαθεν; Sophron. Fr. 110. πῦς (πυῖ?) ἐς μυχὸν καταδύῃ; Tentabam etiam γε, vel γ' αὖ. Nisi reponendum potius καὶ μυστιπολεύει.

141. τὸ τρῆμα (om. ὅπως) S.V. 'κδύσεται] Qu. 'κδράσεται. Cf. 126.

142. ΣΩ. B. vulg. ΟΙ. Ald. ΞΑ. Bergk. Beer. Mein. Dind. ΞΑ. ΣΩ. Richt.

143. ΒΔ. praef. Br. Sosiae continuat Ald. ἄναξ] Malim ὦναξ.

144. σὺ om. S.

145. φέρ' ἴδω ξύλου τίνος σὺ vulg. Mein. φέρ' ἴδω, ξύλου τίνος σύ: Dind. Recte. Cf. 183. 292. et ad Nub. 21. τίνος ξύλου B.C.V. vulg. Hirsch. ξύλου τίνος R. Bekk. Dind. Bergk. Mein. ξύλου τινὸς S. Vide an legendum sit καπνός; φέρ' ἴδω τίνος ξύλου σύ; συκίνου; ΦΙ. νὴ . . . καπνῶν. ΒΔ. ἀτὰρ . . . σύ] Fort. δ' εἶ. 146. ὥσπερ R.

147. ἀτὰρ οὐκ ἐσερρήσεις (εἰσ. C.) γε B.C.S.V. vulg. Bekk. Hirsch. Richt. ἀτὰρ οὐκ ἐρρήσεις γε R. Junt. ἀτὰρ οὐ γὰρ ἐρρήσεις γε Herm. Mein. ἀτὰρ οὐκέτ' ἐρρήσεις γε Elmsl. ad Ach. 42. Bergk. Dind. ἀτὰρ οὐκ ἀπερρήσεις γε Fritzch. ad Thesm. 657. Legendum forsan ἀτὰρ, οὐ γὰρ ἐκφρήσω σε. (Cf. 156. οὐκ ἐκφρήσετε . . . μ'; 125. 162. Contra εἰσέφρησεν pro εἰσήρρησεν v. l. in schol. Eq. 4.) Vel ἀτὰρ οὐκ ἔτ' ἐκδύσει γε (141). Vel ἀτὰρ οὐκ ἔτ' ἐκπτήσει γε. (Cf. 208. στροῦθος ἀνὴρ γίγνεται· | ἐκπτήσεται.) Vel ἀτὰρ οὐκ ἔτ' ἐκδράσει γε (126). "Liber Ravennas ἐρρήσεις. Quo spectare videtur Photius p. 17, 9. ἐρρήσεις: μετὰ βίας εἰσελεύσῃ. Scholiasta, ὡς ἂν τῷ καπνῷ φησὶν, οὐκ εἰσελεύσῃ μετὰ φθορᾶς. Qui ἐξελεύσῃ potius dicere debebant. Correxi ἀτὰρ, οὐ γὰρ ἐρρήσεις γε. Sic in Acharn. 513. ἀτὰρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ, | τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;" DIND. Sed vereor ut simplex ἐρρήσεις pro composito ἐξερρήσεις ponere potuerit Comicus. Εἰσέρρειν legitur Eq. 4. εἰσήρρηκε. Th. 1075. εἰσήρρηκας.

ἐνταῦθά νυν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἴμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ,
ὅστις πατρὸς νυνὶ Καπνίου κεκλήσομαι.
παῖ, τὴν θύραν ὦθει· πίεζε νῦν σφόδρα
εὖ κἀνδρικῶς· κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι·
καὶ τῆς κατακλῇδος ἐπιμελοῦ, καὶ τοῦ μοχλοῦ
φύλατθ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
ΦΙ. *τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,*
δικάσοντά μ', ἀλλ' ἐκφεύξεται Δρακοντίδης;
ΒΔ. *σὺ δὲ τοῦτο βαρέως ἂν φέροις;* ΦΙ. *ὁ γὰρ θεὸς*
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτε,

149. *νῦν* libri et vulg. Mein. *νυν* Bergk. Dind. Richt. Cf. Pl. 724.

150. *ἀτάρ*] *ἀλλ'* P. *ἕτερος* B. vulg. *ἑτερός γ'* R.S.V. prob. Mein. Male. Cf. 88. 889. 1223. Eccl. 1130. Pl. 247. Eupolin ap. Polluc. II. 233. *ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον.*

151. *νυνὶ* B.C.S. vulg. Hirsch. Richt. Dind. *νῦν* R.V. et lemma schol. Bekk. Bergk. Mein. Vulgatum *νυνὶ* revocavi. Nulla enim causa est cur tragicum hic sermonem affectari statuamus, ut prima in *Καπνίου* longa proferatur. Saepe vero *νυνὶ* in *νῦν* abiit.

152. ΣΩ. R.V. vulg. Bekk. Dind. Richt. ΟΙ. B.C. Ald. Bdelycleoni cont. Reisig. (Conj. p. 237.) Beer. Bergk. Mein. *παῖ, τὴν θύραν ὦθει* B.C. vulg. *τὴν θύραν ὦθει* (om. *παῖ*) R.S.V. *σὺ τὴν θύραν ὦθει* conj. Dind. ed. Richt. (Exciderat forsan *σὺ* post *σω*. Aut *σὺ* in *σω*. corruptum. Cf. 199. *ὦθει σὺ πολλοὺς τῶν λίθων.*) *ὅδε τὴν θύραν ὠθεῖ* Herm. Mein. Dind. *τίς τὴν θύραν ὠθεῖ* conj. Bergk. Dindorfio recentioris librarii supplementum videtur *παῖ*. Contra excidisse suspiceris *παῖ* propter similem vicinam syllabam *-μαι*. Non temere mutanda est vulgata. Cf. 196. Bdelycleo alterum, ni fallor, servorum alloquitur. Alter enim ad posticam partem aedium circumcurrere jussus erat v. 138. Qu. *ἴδε, τὴν θύραν ὠθεῖ.* *πίεζε νῦν* libri. *πίεζέ νιν* Ald. *πίεζέ νυν* Kust. Dind. Bergk. Mein. Sed *νυν* hic parum convenit: scripserat forsan comicus *πίεζ' αὐτὴν* (sc. *τὴν θύραν*), aut *πίεζε καί*, aut *πίεζε σύ*.

154. *κατακλεῖδος* B.C.R. vulg. *κατάκλειδος* S.V. *κατακλῇδος* Mein. Dind. Qu. *καὶ τῆς τε* (*γε*) *κλῇδος.* *ἐπιμελοῦ*] *ἐπιμέλου* Dind. Quare? Cf. Pl. 1117. *τοῦ μοχλοῦ· φύλ.* vulg. *τοῦ μοχλοῦ φύλ.* Herm. Bergk. Mein. Dind. *τὸν μοχλὸν φύλ.* Hirsch. Recte omittitur punctum post *μοχλοῦ*. Cf. 200. *καὶ τὴν βάλανον ἔμβαλλε πάλιν ἐς τὸν μοχλόν.*

155. *φύλαττέθ'* B.R.S.V. vulg. Richt. Eng. Praef. Lys. p. xxi. *φυλάττεσθ'* (aut *φυλάττεθ'*) C. *φύλαττεθ'* Ald. *φύλατθ'* Elmsl. ad Ach. 178. Dind. Bergk. Mein. *τὴν* C.R.S.V. *τὸν* B.

156. *εἰσφρήσετ'* S. *μιαρώτατοι* B.R.S.V.Δ. Br. *μιαρώτατε* Ald. *μιαρωτάτω* Palmer. Exerc. p. 735. Fortasse recte.

157. *δικάσοντά μ'*] *δίκασον τί μ'* Ald.

158. 161. 163. 165. ΦΙ. Ald. ΒΔ. Br. ΞΑ. Beer. Bergk. Dind. Mein. *φέρῃς* Ald. ΦΙ. om. B.C. Ald. add. R.(?)S.V.(?) Bentl. Br.

159. *παντευομένῳ* C. *μοὔχρησεν* (sic) recte B.C.R.S.V.

        ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.
ΒΔ. Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.
ΦΙ. ἴθ', ἀντιβολῶ σ', ἔκφρες με, μὴ διαρραγῶ.
ΒΔ. μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.
ΦΙ. διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.
ΒΔ. ἀλλ' οὐκ ἔχεις ὀδόντας. ΦΙ. οἴμοι δείλαιος·
        πῶς ἄν σ' ἀποκτείναιμι, πῶς; δότε μοι ξίφος
        ὅπως τάχιστ' ἢ πινάκιον τιμητικόν.
ΒΔ. ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.
ΦΙ. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι
        τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
        νουμηνία γάρ ἐστιν. ΒΔ. οὔκουν κἂν ἐγὼ
        αὐτὸν ἀποδοίμην δῆτ' ἄν; ΦΙ. οὐχ ὥσπερ γ' ἐγώ.
ΒΔ. μὰ Δί', ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.
ΞΑ. οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
        ἵν' αὐτὸν ἐκπέμψειας. ΒΔ. ἀλλ' οὐκ ἔσπασε

160. ἀποσκλῆναι] ἀποσκλῆν' ἂν Mein. Male. Frustra ἂν desiderat etiam Lenting. Quae particula, etiam si adesset, ejicienda foret. Qu. ἀποσβῆναι. Herod. IV. 5. κατασβῆναι. ποτὲ C. et (supr. τότε) B. Qu. ταχύ. Vix placet homoeoteleuton . . . ποτὲ . . . τότε.

161. ΒΔ. B.R.S.V. Bentl. Reisk. Br. ΦΙ. Ald. ΣΩ. Richt. ΞΑ. Beer. Mein. Dind.

162. ἔκφερε B.C.R.S.V. Ald. Bekk. ἔκφρει Br. ἔκφρες Buttm. Dind. Hirsch. Bergk. Mein. Richt. ἔκφερε tuetur Fritzch. ad Ran. 170, qui, "Fingit, inquit, uti docent verba μὴ διαρραγῶ, se cacaturire et tenesmo laborare. Atqui in tali causa aptissime dicit senex ἔκφερέ με (cf. Nub. 1367, et de verbo διαρραγῆναι Eccl. 370). Latrinae extra domum ante fores erant auctore Eubulo Athen. 417 D." Simplex imperativus φρὲς legitur in versu comici anonymi (Fr. incert. 188. Meinek.): ἔνθα σταθεὶς φρές μ' ὡς τὸ μειρακύλλιον. Cf. Dem. p. 473. εἰσέφρουν (al. εἰσέφερον) τὸ στράτευμα. Sic etiam ἐξεφρίεμεν per ἐξεφέρομεν interpretatur schol. v. 125. Cf. etiam 156. 147.

163. ΒΔ. Ald. Br. ΞΑ. Beer. Mein. Dind.

164. τοίνυν C.R.S.V. τοίνυν (supr. γ') B.

165. ΒΔ. Br. ΣΩ. Richt. ΞΑ. Beer. Mein. Dind. om. Ald. δείλαιος B.C.R.S.V. 166. μοι add. libri et schol. ad 106. Br. om. Ald.

168. ἄνθρωπος libri et Ald. Br. ἅνθρωπος Dawes. Dind. &c. δρασείει R. Bentl. Dawes. Be. Br. δράσει C.S.V. δράσειεν B. δράσειε Ald.

171. οὐκοῦν B.C.R.S.V. vulg. οὔκουν Dind. κἂν ἐγὼ B.R.S.V. Junt. Inv. &c. καὐτὸς ἂν P. Ald. Kust. Br.

172. ὥσπερ γ' ἐγὼ B.P. Ald. ὥσπερ ἐγὼ C.R.V. ἅπερ ἐγὼ S.

173. (ΒΔ. cont.) ἀλλὰ vulg. Dind. ΦΙ. ἀλλὰ Bergk. Mein. Perperam. Cf. 177. 174. Οἰκ. praef. B.C.

175. ἵν' αὐτὸν R. Dind. ἵνα θᾶττον B.C.S.V. vulg. Bergk. Mein. ἔσπασεν vulg. Dedi ἔσπασε. Sed reponendum forsan ἔσπασεν αὔτη γ'.

ταύτῃ γ'· ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάξειν δοκῶ,
ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
κάνθων, τί κλάεις; ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
Ὀδυσσέα τιν'; ΞΑ. ἀλλὰ ναὶ μὰ Δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
ΒΔ. ποῖον; φέρ' ἴδωμαι. ΞΑ. τουτονί. ΒΔ. τουτὶ τί ἦν;

176. ταύτῃ γ'] αὕτη γ' (sc. ἡ μήρινθος) Hirsch. Mein. Fortasse recte. Cf. ad Th. 928. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. Schol. V: τῇ προφάσει.

177. ἐξάγειν δοκῶ perverse libri et vulg. ἔξαγ' ἔνδοθεν Cobet. Mein. ἐξάξειν δοκῶ Elmsl. ad Med. 1322. Recte. Cf. 250. τῳδί μοι δοκῶ τὸν λύχνον προμύξειν. Ran. 1421. τοῦτον ἄξειν μοι δοκῶ. Eccl. 170. αὐτὴ γὰρ ὑμῶν εἵνεκά μοι λέξειν δοκῶ. Pl. 1186. μοι δοκῶ . . . καταμενεῖν. Isocr. p. 96. ὃν ἤδη μοι δοκῶ δηλώσειν. Plura ad Ach. 994. Quod ad futurum ἄξω, cf. Ran. 1421. ἄξειν. 1470. ἀπάξειν. Th. 917. ἀπάξει. Pac. 418. ἄξομεν. Ach. 201. ἄξω. Eur. Tro. 457. τῆσδέ μ' ἐξάξων χθονός. Herod. IV. 148. ἐξάξειν. Plat. Crit. 48. ἐξάξουσι.

178. Bergkius sic: ὅπως δ' ὁ γέρων μὴ τῇδε παρακύψει πάλιν. Versus corruptus Meinekio videtur, ut spurium secludit Diud.

179-82. Xanthiae haec tribuit Bergk.

179. κλάεις B.C.R.S.V. κλαίεις Ald. τήμερον B C.R. σήμερον S.V.

180. εἰ μὴ φέρεις] εἰ μὴ φέρεις γ' Dobr. Adv. II. 231. Ita huc pertinere videretur particula γε inopportune in versum proxime sequentem translata in nonnullis libris. Sed vix placet particula γ' in fine versus posita.

181. τιν' R.(?) Elmsl. ad Ach. 127. Dind. &c. τινά C.S.V. τινά γ' B. vulg. ΞΑ.] ΣΩ. Richt.

183. φέρ' ἴδωμαι. ΞΑ. τουτονί] φέρ' ἴδω. ΞΑ. ναὶ τουτονὶ Hirsch. (quem non immerito offendit medium ἴδωμαι in senario comico). φέρ' ἴδωμεν. ΞΑ. τουτονὶ Richt. Herwerd. ad Oed. R. 287. φέρ' ἴδω. ναὶ τουτονὶ Beer. Mein. Reponendum forsan φέρ' ἴδω 'γὼ . . . , vel φέρ' ἴδωμεν . . . (Lucian. Fug. 31. φέρ' ἴδωμεν ἅτινά σοι ἡ πήρα ἔχει). Media forma ὁρᾶσθαι et ἰδέσθαι utitur noster Nub. 281. ἀφορώμεθα. 289. ἐπιδώμεθα. Thesm. 800. βάσανος δὲ πάρεστιν ἰδέσθαι. Cratinus ap. Heph. p. 46. νέφος οὐράνιον τόδ' ὁρῶμαι. Hom. Il. κ'. 47. Aesch. Pers. 179. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην (sc. ἐνύπνιον). Soph. Ant. 594. ὁρῶμαι. Aj. 351. ἴδεσθέ μ' οἷον . . . Tr. 151. εἰσίδοιτο. 306. ὁρωμένη. 909. εἰσορωμένη. 1004. ἰδοίμην. El. 892. κατειδόμην. 977. ἴδεσθε. 1059. ἐσορώμενοι. Phil. 351. οὐ γὰρ εἰδόμην. 1113. ἰδοίμαν. Eur. Med. 1414. ἐπιδέσθαι. Hel. 122. αὐτὸς γὰρ ὅσσοις εἰδόμην καὶ νοῦς ὁρᾷ. Herc. 1029. ἴδεσθε. Ion. 1279. ἴδεσθε. 1023. ὑπείδου. Orest. 350. Bacch. 1017. Andr. 113. Hec. 320. Herod. I. 88. ἰδόμενος. I. 207. ἰδόμενοι. II. 38. ἴδηται. II. 121. ἴδωνται. III. 6. οὐκ ἔστιν . . . ἰδέσθαι. IV. 179. κατιδέσθαι. V. 18. ἰδόμενοι. VII. 44. ἰδέσθαι. VII. 208. ἰδέσθαι et κατιδέσθαι. IX. 90. ἴδωνται. Thuc. VI. 93. περιορώμενοι. Dem. p. 67. προορώμενοι. p. 410. τὸ μέλλον προορώμενος. p. 419. προείδετο. p. 428. προ-

τίς εἶ ποτ', ὤνθρωπ', ἐτεόν; ΦΙ. Οὖτις νὴ Δία.
ΒΔ. Οὖτις σύ; ποδαπός; ΦΙ. Ἴθακος Ἀποδρασιππίδου.
ΒΔ. Οὖτις μὰ τὸν Δί' οὔ τι χαιρήσων γε σύ.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος
ἵν' ὑποδέδυκεν· ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
ΦΙ. εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
ΒΔ. περὶ τοῦ μαχεῖ νῷν δῆτα; ΦΙ. περὶ ὄνου σκιᾶς.
ΒΔ. πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.
ΦΙ. ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γέροντος ἡλιαστικοῦ.
ΒΔ. ὤθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
ΦΙ. ὦ ξυνδικασταὶ καὶ Κλέων, ἀμύνατε.
ΒΔ. ἔνδον κέκραχθι τῆς θύρας κεκλῃμένης.

ὁρᾶσθε. p. 773. προορώμενον. Aeschin. I. 165. προϊδόμενος: II. 46. προορωμένων. Isae. II. 8. ὑφορᾶσθαι. Xen. Mem. II. 7. 12. ὑφορωμένων ἑαυτάς. Theophr. Char. 22. προϊδόμενος. Plut. Caes. 68. ὑφορώμενος τὴν ὄψιν. Agid. 1. τὰ ἔμπροσθεν προορώμενοι. ΒΔ. ante τουτὶ om. P. Beer. Mein.

184. ὦ 'νθρωπ' B.C.R.S.V.Δ. Dawes. ἄνθρωπ' Ald. ἀνδρῶν conj. Bentl., coll. Homerico τίς, πόθεν, εἶς ἀνδρῶν; οὔτις R. Bekk. Dind. &c. οὖτις B.C.S.V. vulg.

185. οὔτις R.(?) Bekk. &c. οὖτις B.V.Δ. Bentl. Br. Richt. οὗτος C. Ald. ἀπὸ Δρασιππίδου B.C.R.V. vulg. ἀποδρασιππίδης S. Ἀποδρασιππίδου Elmsl. ad Ach. 563. Dind. recc. Sed verum mihi videtur Ἀποδρασιππίδης, quod legisse suspicor scholiastam, ut hac appellatione designetur hominis pagus. Et profecto prona scribis fuit depravatio ἀπὸ Δρασιππίδου ex Ἀποδρασιππίδης.

186. Οὖτις, μὰ τὸν Δί' . . . vulg. Οὖτις; μὰ τὸν Δί' . . . Elmsl. (ad Ach. 563.) Richt. οὗτοι μὰ τὸν Δί', Οὖτι, χαιρήσων γε σὺ Dobr. et Fritzch. ad Thesm. 1094. Correctio admodum probabilis. οὔτις R. Bekk. οὖτις B.C.V. vulg. γε σὺ R. Bekk. Dind. &c. γε σὺ ἔσει S.V. γε σὺ ἔσῃ C. γ' ἔσει (ἔσῃ B.Δ.) B.Δ. vulg. χαιρήσεις γ' ἔτι Hirschig. Ann. Crit. p. 71.

187. ὦ libri (sic certe B.C.) et vulg. ὢ Dind. Mein. Cf. 900. ὦ μιαρὸς οὗτος. Ceterum virgulam post μιαρώτατος recte omittunt Mein. Dind.

190. ἐάσεθ' B.R.S.V. Br. ἐάσηθ' Ald. ἥσυχον B.C. vulg. Dind. ἡσύχως R.S.V. Bekk. Bergk. Mein. Male.

191. μάχει C.R.S.V. vulg. μάχῃ B. μάχῃ Ald. μαχεῖ Bekk. Dind. Mein. &c. "Apud Hesychium in ὄνου σκιὰ scriptum περὶ τούτου νῦν δὴ μάχῃ, περὶ ὄνου σκιάν." DIND. Eadem discrepantia est Ran. 607.

196. ὤθει τὸν ὄνον σὺ καὐτὸν . . . (ad Xanthiam dictum) Richt. Cf. 199. Qu. ὤθει τὸν ὄνον χἄμ' αὐτὸν . . . . εἰς B.C.R.S.V.

198. κέκραθι S.V. κεκλεισμένης R.V. vulg. Richt. κεκλεισμένος B.S. κεκλησμένης C. κεκλῃμένης Mein. Dind. Theodosius Bekk. Anecd. p. 1020. κέκλειμαι λέγεται παρὰ πᾶσιν Ἕλλησιν. p. 1388. κεκλειμένος ει διφθ., ὡς . . .

ὤθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν ἐς τὸν μοχλὸν,
καὶ τὴν δοκὸν προσθεὶς τὸν ὅλμον τὸν μέγαν
ἀνύσας τι προσκύλινδ' ἔτ'. ΞΑ. οἴμοι δείλαιος·
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βωλίον;
ΒΔ. ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοί ποθεν.
ΞΑ. μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας.
ΒΔ. οἴμοι κακοδαίμων, στροῦθος ἀνὴρ γίγνεται·
ἐκπτήσεται. ποῦ ποῦ 'στί μοι τὸ δίκτυον;
σοῦ σοῦ πάλιν σοῦ. νὴ Δί' ἦ μοι κρεῖττον ἦν
τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.
ΞΑ. ἄγε νυν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,

Forma κέκλειμαι commendatur etiam ab Etym. M. Cf. ad Dem. Philipp. p. 22. Eur. Hel. 983. Aesch. Suppl. 957. Elmsl. ad Her. 729. Matth. ad Hec. 482. Andr. 495. 200. ἔμβαλε S. εἰς B.C.R.S.V.

201. προσθείς] πρόσθες Br., puncto post μέγαν posito. τῇ δοκῷ vulg. Nonnihil dubito annon legendum τὴν δοκόν. V. schol. DOBR. Recte, opinor.

202. προσκύλιέ γ' B. vulg. προσκύλιε (sine γ') C.R.S.V. προσκύλισον Cobet. V. L. p. 133. Richt. Dind. prob. Bergk. προσκυλῖσον Mein. προσκύλι' (et mox ἰώ μοι) Dobr. conj. Bergk. Idem ipse conjeceram. Sed praestat forsan προσκύλι' (aut προσκύλινδ') ἔτ', quum dubium sit an ἰώ μοι δείλαιος aeque ac οἴμοι δείλαιος dixerint Attici. Aut προσκύλισον aut aliud quid reponendum censet Cobetus, cui antiqui κυλίνδω in praesenti, non κυλίω, dixisse videntur; ut ἐξαλίνδω ἐξαλίσω. Praesentis imperativus requiri videtur, ut ὤθει et ἔμβαλλε. ΣΩ. vulg. om. R. ΞΑ. Bergk. Beer. Mein. Dind. οἴμοι S.V. Br. ὤμοι B.C. Ald. ὤιμοι (i. e. ἰώ μοι?) R. οἴμοι pro Homerico ὤμοι scenicis Graecis, certe tragicis, ubique reponendum contendit Elmsleius ad Soph. Oed. C. 820. Aj. 900.

203. βώλιον B.R.S.V. vulg. Dind. βωλίον Bergk. Mein. Richt.

204. ΞΑ. vulg. ΒΔ. Bergk. Mein. Dind. ἀνέβαλε B.

205. ΣΩ. vulg. ΞΑ. Bergk. Beer. Mein. Dind.

206. κεραμίδων] κεραμίων hic legisse videtur Pollux 10, 183. Quod temere, opinor, recepit Dind. ὑπὸ τὸν κεραμιδῶν' (ab nominat. κεραμιδὼν, ut πυλὼν, κοιτὼν, πιθὼν, &c.) Reisk.

207. ΞΑ. vulg. ΒΔ. Bergk. Mein. Dind. στρουθὸς libri. στροῦθος accentu Attico Dind. ex Herodiano π. μ. λ. p. 42, 14. et schol. Av. 876. Bergk. Mein. Richt. ἀνήρ] ἀνὴρ libri. γίγνεται R. γίνεται B.C.S.V.

208. ΒΔ. ποῦ . . . Richt. μοι B. Ald. vulg. μου R.S.V. et Suid. in ἐποποῖ et σοῦ. ποῦ conj. Mein. Fortasse recte. Idem ipse conjeceram.

209. σοῦ σοῦ, πάλιν σοῦ] Malim σοῦ σοῦ πάλιν, σοῦ, *apage retro, apage* ΒΔ. add. R.S.V. Br. om B.C. Ald. Bergk. Versum Bdelycleoni tribuit Reisk. continuant Mein. Dind. ἦ μοι] Praestat forsan ἦ 'μοί. ἦν om S.

211. 216. 221. 228. ΣΩ.] ΞΑ. Bergk., de his Beerium consuli jubens. νῦν B.C.R. vulg. δὴ S.V. νυν Dind.

κοὐκ ἔσθ᾽ ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;
ΒΔ. ἀλλ᾽, ὦ πονήρ᾽, ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ παρακαλοῦντες τουτονὶ
τὸν πατέρα. ΞΑ. τί λέγεις; ἀλλὰ νῦν γ᾽ ὄρθρος βαθύς.
ΒΔ. νὴ τὸν Δί᾽ ὀψὲ γοῦν ἀνεστήκασι νῦν·
ὡς ἀπὸ μέσων νυκτῶν γε παρακαλοῦσ᾽ ἀεὶ
λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
ἀρχαιομελισιδωνοφρυνιχήρατα,
οἷς ἐκκαλοῦνται τοῦτον. ΞΑ. οὐκοῦν, ἢν δέῃ,

213. τί οὐκ ἀπεκοιμήθημεν] τί οὐκ ἐκοιμήθημεν B. τί οὐ κατεκοιμήθημεν Photius in στίλην p. 538, 24. prob. Pors. ad Orest. 581. Vulgatam habet Suidas in στίλη. "Minus caute Porsonus ad Eurip. Or. 581. damnat ἀπεκοιμήθημεν, satis defensum a Xenophonte apud H. Steph. Thes. T. 2. p. 291 D. Alia dat Sturzii index. Herodotus 8, 76. οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς, οὐδὲν ἀποκοιμηθέντες, παραρτέοντο. Ex quibus locis apparet vocabulum esse militare, qualia in hac scena affectant servi; et significare φυλακὴν καταλύειν v. 2. Compara ἀποδαρθεῖν in Nicochare in Bekker. Anecd. p. 349. ἀποβρίζειν Theocr. Epigr. 21." DOBR. ὅσον ὅσον στίλην] Tentabam ὅσον ἄχνην (92) μόνον. (Cf. Vesp. 1288. Lys. 732.) Vel ὅσον ὕπνου στίλην. Cf. 91. ὕπνου δ᾽ ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην. Minus placeret ὅσον μόνον στίλην propter duriorem anapaesti incisionem. στύλην S.

214. πόνηρ᾽ vulg. hic et 223. πονήρ᾽ Dind. Similiter alibi.

215. ξυνδικασταὶ R.S.V. συνδικασταὶ B.C. Ald. παρακαλοῦντες] περικαλοῦντες V. cum gl. ἡ περί ἀντὶ τῆς ἐξ.

216. ΣΩ. vulg. ΞΑ. B. Beer. Mein. Dind. νῦν C.R.S. vulg. νῦν γ᾽ B.V.Δ. Quod recipiendum.

217. γὰρ ἀνεστήκασι νῦν C.R.S.V. Bekk. γοῦν ἀνεστήκασί γε B.Δ. Ald. γοῦν . . . νῦν Kust. Br. Hirsch. γ᾽ ἄρ᾽ . . . νῦν Pors. Adv. p. 37. Dobr. τἄρ᾽ . . . νῦν Lenting. Bergk. Dind. νῦν . . . γὰρ Reisig. Conj. p. vii. Mein. Richt. Mihi quidem arridet γοῦν . . . νῦν. De particulis γοῦν et γὰρ confusis cf. ad Eccl. 72. Pl. 1088. Pac. 545. Cf. ad Nub. 887. Aesch. Ag. 1425. γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν. Soph. Oed. C. 1264. ἀγὼ πανώλης ὀψὲ γοῦν ἐκμανθάνω. Chrysost. ad S. Matth. Ev. III. 7. ὀψὲ γοῦν ποτὲ τὰ ἀδύνατα αὐτοῖς σχεδὸν εἶναι δοκοῦντα ἠδυνήθησαν.

218. γε add. R.S.V. Bekk. &c. om. B.C. vulg. παρακαλοῦσ᾽ C.R.S.V. παρακαλοῦντές μ᾽ B. Ald. παρακαλοῦσίν γ᾽ Br. παρεκκαλοῦσ᾽ (*praetereuntes evocant*) conj. Lenting. Richt. παρακαλοῦντες legitur v. 215.

220. ἀρχαιομελη- B.C.S.V. vulg. Hirsch. et dubitanter Dobr. ἀρχαῖα μελη- R. ἀρχαιομελι- Suidas in ἀρχαῖος et μινυρίζω. Dind. Bergk Mein. (Idem legisse Aristarchum constat ex annotatione scholiastae.) ἀρχαιομελι- Richt. ἀρχαῖα μελι- (sec. Aristarchum) Cobet. Prior schol: παρὰ τὸ μέλι, ὅπερ ἐστὶν ἡδύ, καὶ τὴν Σιδῶνα καὶ τὸν Φρύνιχον καὶ τὰ ἐρατὰ ἔμιξεν, οἷον ἀρχαῖα μέλη Φρυνίχου ἐρατὰ καὶ ἡδέα &c. Alter non μέλι, sed μέλος, in composito includi dicit, ut etiam ἀρχαῖος. -δωνο-] -δωρο- P. -φρυνιχάνατα B.

221. ΣΩ. vulg. ΞΑ. Beer. Mein. Dind.

ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
ΒΔ. ἀλλ', ὦ πονηρέ, τὸ γένος ἤν τις ὀργίσῃ
τὸ τῶν γερόντων, ἔσθ' ὅμοιον σφηκιᾷ.
ἔχουσι γάρ τι κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
πηδῶσι καὶ βάλλουσιν ὥσπερ φέψαλοι.
ΞΑ. μὴ φροντίσῃς· ἐὰν ἐγὼ λίθους ἔχω,

222. Hic versus deest in C. ἤδη ποτ'] Haec vitiosa sunt, ni fallor. Istud ἤδη corruptum videtur ex praecedentibus ἢν δέῃ. Nec tamen patet quid restituendum sit: fortasse σοβοῦντες aut δήπουθεν. βαλήσομεν B.S.

224. ὅμοιον C.R.S. ὁμοῖον B.V.

225. καὶ κέντρον] Scripserat, opinor, τι κέντρον, ut in simili Phrynichi loco II. 580. ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις.

226. ᾧ] ὃ R. Idem καὶ omittit. κεκραγότες] τετριγότες malit Richt.

227. βάλλωσιν S. φέψαλλοι S.

228. ΣΩ. vulg. Richt. ΞΑ. R. Beer. Mein. Dind. ἐάν ἐγὼ C.R.S.V. Junt. 2. Elmsl. ad Ach. 127. Bekk. Dind. &c. ἐάν περ ἐγὼ B.P. vulg. ἐάν γ' ἐγὼ Reisk. ὡς ἐὰν ἅπαξ conj. Dobr. ἐὰν γὰρ ἐγὼ tentat Porsonus, sed idem in ἐάνπερ acquiescit. Si emendatione opus esset, facilis correctio foret ὡς ἢν ἐγὼ, vel ὡς ἢν μόνον . . . Cf. ad Av. 1550. Elmsl. ad Bacch. 815. et ad Oed. Col. 1407. et in Cens. Edin. III. 190. anno 1803. "Vulgo ἐάν περ ἐγὼ, quam scripturam ignorata ab librariis ἐὰν particulae mensura peperit, de qua ante aliquot annos primum exposui, allatis de [ex] Aristophane exemplis quattuor, quae aliis aliorum aucta repetam, ut cognoscatur quam late error ille propagatus fuerit. (1) Pl. v. 126. ἐάν γ' ἀναβλέψῃς σὺ κἂν μικρὸν χρόνον, excludenda γε particula plus decem in libris omissa, in quibus Ravennas Venetusque sunt. (2) Ibid. v. 481. ἐάν γ' ἁλῷς; ὅ τι σοι δοκεῖ. καλῶς λέγεις. codices antiqui veram scripturam servarunt ἐὰν ἁλῷς cum Suida in v. τίμημα. (3) Aliquanto imperitius γε istud in proximum versum illatum legebatur v. 482. τὸ γὰρ αὐτό γ', ἐὰν ἡττᾶσθον καὶ σφὼ δεῖ παθεῖν, quod si hoc modo dicere voluisset Aristophanes, non ἐὰν sed ἢν erat scripturus. Nunc, quum ἐὰν legatur, manifesto scribendum αὔτ' ἐὰν, quod ipsum plurimi libri conservarunt quamvis neglecta elisione αὐτὸ ἐάν. (4) In Vespis v. 1231. ἐάν γ' ἀπειλῇ, νὴ Δί' ἕτερον ᾄσομαι, deletam jam olim ab me particulam libris optimis abesse nuper cognovimus. In tragicorum reliquiis casu accidit ut unum tantum quo hujus voculae mensura declarari possit exemplum inveniatur, cui librarii non magis quam Aristophaneis pepercerunt, Sophoclis dico versum in Oedipo Col. v. 1407. μή τοί με πρὸς θεῶν σφώ γ', ἐὰν αἱ τοῦδ' ἀραὶ, ita ab Elmsleio perite emendatum. Ceterorum poetarum exempla omissis librariorum criticorumque erroribus apponam. Archestratus apud Athenaeum p. 29 c. ἔστι δὲ καὶ Θάσιος πίνειν γενναῖος, ἐὰν ᾖ —. idem p. 285 c. ἔστι Ῥόδῳ γενναῖος, ἐὰν ἐπιχώριος ἔλθῃ. et p. 321 a. ἐν δὲ Θάσῳ τὸν σκορπίον ὠνοῦ, ἐὰν ᾖ —. Comicorum loci apud eundem scriptorem sunt p. 100 e. 119 f. p. 160 f. p. 280 c. 300 a. p. 441 c. Menandri et Philemonis in Meinekii sylloge p. 242. 376. Ex his intelligitur in ejusmodi versibus qualis hic Alexidis est apud Athenaeum p. 693 a. ὁ Ζεὺς ὁ σωτὴρ, ἐὰν ἐγὼ διαρραγῶ, aut Menandri p. 79. ἄνθρωπος ἐὰν

πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

ΧΟΡΟΣ.

χώρει, πρόβαιν' ἐρρωμένως, ὦ Κωμία· βραδύνεις.
μὰ τὸν Δί' οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς κύνειος·
νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.
ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
Εὐεργίδης ἆρ' ἐστί που 'νταῦθ' ἢ Χάβης ὁ Φλυεύς;
πάρεσθ' ὃ δὴ λοιπόν γ' ἔτ' ἐστὶν, ἀππαπαῖ παπαιὰξ,

ἢ χρηστὸς, εὐγενὴς σφόδρα, cujus similes plures exstant, aut ἂν aut ἦν esse reponendum. Contra in Iphigenia Aulidensi quod legitur v. 1193. παίδων σ', ἐὰν αὐτῶν προθέμενος κτάνῃς τινὰ, intactum relinqui oportet. Neque enim Euripidis totus ille locus est, sed hominis linguae, metrorum, et syllabarum mensurae imperiti, qui tot alia in illa fabula turpiter interpolavit, adeoque μικρὸς correpto iota extulit." DIND. "Antiphan. ap. Stob. Fl. 27, 8. ἐὰν ἐπιορκήσῃ τις. ap. Athen. p. 123 B. ἐὰν δ' ἄρα (δ' om. Richter). Comp. Menand. et Philem. p. 361. ἐὰν ἀγαθοῦ." RICHT. Alexis Athen. p. 441 C. γυναιξὶν ἀρκεῖ πάντ', ἐὰν οἶνος παρῇ | πίνειν διαρκής. Idem p. 621 D. ἐὰν ἐπιχώριος | ἰατρὸς εἴπῃ &c. Anaxandrides p. 300 A. τὸν αἰέλουρον κακὸν ἔχοντ' ἐὰν ἴδῃς, | κλάεις. Dioxipp. p. 100 F. ἐκεῖνον πέμπε, φὰς (libri φῄς), ἐὰν ἴδῃς. Philetaer. p. 570 F. ἐὰν ἔχῃ τις ὁπόθεν. Menand. Athen. 119 E. ἐπέπασα | ἐπὶ τὸ τάριχος ἅλας, ἂν (ἐὰν Elmsl. Ed. Rev. III. 191) οὕτως τύχῃ. Idem Fr. Inc. 155. καλὴν γυναῖκ' ἐὰν ἴδῃς, μὴ θαυμάσῃς. Idem Fr. Inc. 478. ἐὰν ἐγὼ φῶ νῦν ἔχειν βακτηρίαν. Philemon Stob. Fl. 91, 13. τοῦτ' ἐὰν (al. τοῦτο δ' ἐὰν) ἔχῃς, λέγε. In Ararotis loco ap. Suidam in ἀναθεῖναι, ἐὰν καιρὸς ᾖ, non correxerim cum Meinekio (Fr. Com. III. 276) ἐὰν ὁ, sed ἐπὰν ὁ καιρὸς ᾖ.

230. ἐρρωμένως. ὦ Κωμία, βραδύνεις; vulg. Dind. et (βραδύνεις.) Mein.

231. μὰ τὸν Δί', οὐ . . . vulg. Scrib. μὰ τὸν Δί' οὐ . . . Cf. ad Pl. 106.

232. κρείττων B.R. Bentl. Br. κρεῖττον S.V. Ald. ἐστί σου C.R.S.V. vulg. ἔστι σοῦ B. ἐστὶ σοῦ Dind. Mein. Χαρινάδης C.R.S.V. Χαριννάδης B. Cf. Pac. 1155.

233. Κονδυλεῦ B. Bergkius dubitanter conj: Εὐεργίδης πάρεστί που 'νταυθὶ Χάβης θ' ὁ Φλυεύς. | Ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν, | πάρεσθ' . . . Idem proponit Richter.

234. Εὐεργίδης] An Εὐεργέτης? ἆρ' S.V. ἄρ' B.C.R. ἔστι B.C. 'νταῦθ' ἢ Χάβης] 'νταυθὶ Χάβης θ' Hamaker. Mein. conj. Bergk. Richt. Χάβης R.V. Br. (unde?) Bekk. Χάρης B.C. Ald. Χαύης S. Χάβης etiam schol., Herodiani usus auctoritate. Ejusdem radicis nomen, ut videtur, atque Χαβρίας. Verum tamen videtur Χάρης, quod nomen exstat Ach. 604. Χαρίας est in inscriptione Boeckh. No. 226 b. Χαρινάδης Vesp. 232. Pac. 1155.

235. ὃ δὴ 'στὶ λοιπὸν Dobr. (Idem mihi ipsi in mentem venerat. Cf. Soph. Ant. 1202. ἐν νεοσπάσιν | θαλλοῖς ὃ δὴ 'λέλειπτο συγκατήθομεν.) ὃ δὴ 'τι λοιπόν ἐστιν Hirschig. Ann. Crit. p. 71. ὃ δὴ C.R.V. Bekk. Dind. &c. ὁδὶ (sic) S. ὃ (om. δὴ) B. vulg. γ' add. C.S.V. Bekk. Dind. &c. om.

ἥβης ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σὺ, κᾆτα περιπατοῦντε νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
κᾆθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἐγκονῶμεν, ὦνδρες, ὡς ἔσται Λάχητι νυνί.
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτὸν, ὡς κολωμένους ὧν ἠδίκηκεν. ἀλλὰ
σπεύδωμεν, ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι·
χωρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντη διασκοπῶμεν,

B.R.V. (s. Cob.) vulg. ἔτ' add. R.S.V. Bekk. Dind. om B.C.P. vulg. ἀππαπαὶ παπαιὰξ R.S.V. Suid. in ἐποποῖ. Bekk. et (ἀππαπαῖ) Dind. &c. ἀππαπαὶ παππαιὰξ C. ἀππαπαὶ παπαὶ παπαιὰξ B. Br. ἀπαππαὶ παπαὶ παππαιὰξ (παπαιὰξ Δ.) Δ. Ald. ἃ παπαὶ παπαὶ παπαιὰξ conj. Bentl. Cf. ad Eq. 1. Soph. Phil. 745. παπαῖ | ἀπαππαπαῖ 746. 754. Lucian. Fug. 33. φεῦ τῶν κακῶν, ὀττοτοὶ, παπαιπαίαξ. Qu. ἀπαπαπαῖ (infra 309. ἀπαπαῖ. Ran. 57. Th. 1192. ὂ ὂ ὂ παπαπαπαῖ), vel una voce ἀππαπαιπαπαιπαπαιάξ.

236. ἤδης (sic) S.

239. ἥψομεν R. Br. Bekk. Dind. &c. ἥψαμεν B.C.V. vulg. ἥψαμεν S. Similiter vitiose ἧψας scriptum in Timoclis fragmento Athen. 407 E. Tenendum vero est imperfectum esse ἥψομεν.

240. ὦνδρες (ὦ ʼνδρες S.) B.R.S.V.Δ. Dind. &c. ἄνδρες C. vulg. ὡς ἔσται Λάχητι νυνί] Vulgo δίκη supplent, quod quum aegre fieri queat, merito vitium suspicari licet. Ὡς ἔσται κακῶς (vel δίκη) Λάχητι tentat Mein. ἔσται B.R. ἐστιν V. ἔστι S. νυνί] Fort. νῦν τι aut τιμή. Vix satisfacit vulgata.

241. σίμβλον] σίμβολον V. φασι om. S. φησι R.

242. χθὲς οὖν Κλέων] ἐχθὲς μὲν οὖν conj. Mein. Non enim videri Aristophanem in iambicis numeris forma monosyllaba χθὲς usum esse. Cf. ad Vesp. 500. Eccl. 562. Lys. 725. Pl. 344. Ἐχθὲς septies legitur in fragmentis comicorum, χθὲς semel tantum in Arist. Fr. 148. καὶ μὴν χθές γ' (γὰρ vulg.) ἦν Περδίξ χωλός. Qui dubius locus est. Qu. ἐχθές γ' ὁ κηδεμὼν Κλέων &c. οὖν] γοῦν Herm. (de choro Vesp. p. 6.) Richt.

243. πονηράν] Hoc suspectum aliquantum habeo. Qu. πικροτάτην.

244. χολούμενος S. et (supr. κολω) V. κολουμένους C. Ald. καλουμένους B.R.Δ. κολωμένους H. Steph. in Thes. Pors. in Diar. Class. V. 142. Dind. Bekk. &c. χολουμένους Scal. Hesychii glossa est: κολωμένους. κολάσοντας. Cf. ad Eq. 456. χὤπως κολᾷ τὸν ἄνδρα. Vide comm. Judicum non est καλεῖσθαι, sed κολάζειν. ἠδίκησεν libri et vulg. ἠδίκηκεν Cobet. (Mnem. l. l.) Bergk. Mein. Recte, opinor. Frequens haec confusio in libris. ἀλλὰ S.V. Bentl. Pors. Dind. &c. ἀλλὰ γὰρ B.C.R. vulg.

245. σπεύδωμεν B.R. σπεύσωμεν S.V. ὦνδρες C.R.S.V. ἄνδρες B.

246. τῷ λύχνῳ πάντη] Fort. πανταχῇ λύχνῳ. Cf. Th. 660. Sed παντᾶ est (in cant.) Av. 345. πάντη vulg. Dind. ταύτη (supr. πάντη) B. πάντῃ Mein.

μή που λαθών τις ἐμποδὼν ἡμᾶς κακόν τι δράσῃ.

ΠΑΙΣ.

τὸν πηλὸν, ὦ πάτερ πάτερ, τουτονὶ φύλαξαι.
ΧΟ. κάρφος χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόμυξον.
ΠΑ. οὐκ, ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προμύξειν.
ΧΟ. τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς,
καὶ ταῦτα τοὐλαίου σπανίζοντος, ὦνόητε;

247. λαθὼν B.R. vulg. Dind. λίθος S.V. (s. Bekk.) Herm. El. D. M. p. 504. Bergk. Richt. Mein. λίΓθος V. (s. Dind. λίθοσις V. sec. Cob.) λίθων Reisig. Conj. p. 277. Cf. 248. 275. Eccl. 546. κτυποῦσα τοῖν ποδοῖν | καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ. Sed praestat, opinor, λαθών. Vix enim apte κακόν τι δρᾶν, sed βλάπτειν potius, diceretur λίθος. τις ἐμποδὼν ἡμᾶς R.V. τις ἡμᾶς ἐμποδὼν B.C. Ald. ἡμᾶς τις ἐμποδὼν S. Pors. τις ἐμποδὼν ἡμᾶς Bentl. Tyrwh. Dind. &c.

248-272. "Quod in his 25. versibus asynartetis voces aliquot spurias recidere necesse fuerit nemo mirabitur, qui sciat librariis quibusdam placuisse eos ad idem metri genus reducere, quod superiorum erat, id est ex iis tetrametros iambicos facere; quod sane, numerorum modo habita ratione, haud difficile erat. Sed, ut in perfecta et absoluta phrasi nihil fere addi vel detrahi patitur sermonis indoles, inepte insertae fulciendis metris otiosae voculae manum interpolatoris statim produnt." BR. "Easdem interpolationes partim praebent R.V." DIND. Metrum horum versuum est ⏓ ⏑́ ⏑ – ⏓ – ⏑ –, ⏑́⏑ ⏑ – ⏑ – ⏓, Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον dictum ab grammaticis. V. Hephaest. c. 15. p. 94. ed. Gaisf. Idem metrum Nub. 1213. Pac. 939. 1023. Eccl. 289. Ejusdem fere metri sunt Av. 1755-62. Simile est metrum Latinum Saturnium dictum ⏑ –́ ⏑ –́ ⏑ –́ – | –́ ⏑–́⏑ –́ ⏑. *Dabunt malum Metelli Naevio poetae*, in quo prior hemistichus catalecticus est. τὸν πηλὸν B. vulg. ὦ τὸν πηλὸν C.R.S. et (ὠ) V. ὦ πάτερ σὺ πάτερ S. σὺ τουτονὶ libri. τουτονὶ Flor. Christ.

249. χαμᾶθεν B.R.(?)Δ. Dind. Bekk. &c. χαμάθεν C. Ald. vulg. χαμόθεν S.V. Cf. Herod. II. 125. χαμάθεν (χαμόθεν pauci libri). IV. 172. χαμάθεν (al. χαμόθεν). Sed χαμᾶθεν est in Eupolidis loco ap. Diog. L. IX. 50. ὃς ἀλαζονεύεται μὲν ἀλιτήριος | περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει. V. Piers. ad Moer. p. 409. νῦν libri. νυν V. (ni fallor) Dind. &c. σὺ νῦν Ald. σύ νυν Br. σὺ deleri jusserunt Flor. Chr. Bentl. Pors. Elmsl. σὺ χαμόθεν νυν conj. Herm. τὸν S.V. Ald. Br. σὺ τὸν B.C.R.Δ. πρόβυσον vulg. πρόμυξον recte, opinor, Scal.

250. μοι S.V. Pors. Br. μοιγε R. (in literis οιγ corr.) μοί γε νῦν B.C. Ald. προβύσειν vulg. προμύσσειν Flor. Chr. Scal. Legendum potius προμύξειν. Cf. ad 177.

251. τί δή] Qu. τί δαί. τὴν C.R.S.V. σὺ τὴν B. θρυαλίδ' S.V. μαθὼν libri. παθὼν Flor. Chr. Elmsl. (ad Ach. 826.) Mein. Dind. Male.

252. τοῦ 'λαίου B. τοὔλαίου C. ὦνόητε C.S.V. ὦ 'νόητε Ald. ὠνόητε R. νῦν ὦ 'νόητε B.Δ. Deinde σὺ add. B.C.R.Δ. Ald. om. S.V. Flor. Chr. Br.

οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.
ΠΑ. εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί·
κἄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
ΧΟ. ἦ μὴν ἐγὼ σοῦ χἀτέρους μείζονας κολάζω.
ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι,
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν τοῦτ' ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή 'στι πρῷα

253. *τίμιον* C.R.S.V. *τι τίμιον* (*τί* B.) B.Γ.Δ.

254. *αὖθις*] *αὖ τοῖς* Cobet. (Mnem. l. l.) Richt. *κονδύλοις* S. *κονδύλοισι* R.V.Δ. *κονδύλοισιν* B.C.

255. *ἄπειμεν* S.V. *αὐτοί*] *αὖθις* Elmsl. n. ms. Kiehl. Cobet. l. l. Richt. Idem ipse conjeceram. Cf. Ran. 1486. *οἴκαδ' αὖθις πάλιν ἄπεισ'.* Saepe *αὖτις* (unde *αὐτοὶ*, ut videtur) pro *αὖθις* in libris scriptum. Possis etiam non male *εὐθύς*. Quod si verum est *αὐτοὶ*, redde *ipsi soli*.

256. *σκότῳ* C.R.S.V. *σκότῳ γε* B.Δ. *τουτουὶ* B.R. *τουτοῖ* V. *τουτωῖ* S.

257. *ἀτταγῆς* C. Dein *που* add. B.Δ. non C.R.S.V.

258. *σου* C. Mein. *σε* (supr. *ου*) B. *σοῦ* Bekk. Dind. *μείζονας* C.R.S.V. *γε μείζονας* B.Δ.

259. *οὑτοσί*] *οὐ ποσίν* (supr. *το*) B. *μοι*] *μὴ* R. *τοι* malit Mein., qui post h. v. lacunam unius versus indicandam esse putat. *βόρβορος* B.R. *βάρβαρος* S.V. *μάμμαρος* Herm. Bergk. Mein. Idem ipse conjeceram. Cf. Cobet. V. L. p. 283. Dein *νῦν* add. B.Δ. non C.R.S.V. *πατοῦντα* S.V.

260. *ἡμερῶν γε* B.Δ. non C.R.S.V.

261. *ἔχει δὴ* soli B.Δ.

262-3. Puero dat Hermannus (de choro Vesp.), quippe quorum sit, lucernas gestantium, eas observare. *γοῦν*] *δ' οὖν* malit Richt. *γοῦν δὴ* soli B.Δ. *τοῖσι* B.C. *μυοῦντες* C.

263. Hunc versum, ut Aristophane indignum et interpolatum, damnant Hirsch. Hamaker. Cobet. Mein. Neque enim recte dici *ποιεῖν ὑετὸν* pro *ποιεῖν ὕδωρ*, neque *ὅταν τοῦτ' ᾖ* pro *ὅταν τοῦτο γένηται* dictum Attico poeta dignum esse contendit Cobetus. *δὲ* C. *ὅταν ᾖ τουτὶ* C.R.S.V. vulg. *ὅταν γ' ᾖ τοῦτο* B.Δ. *ὅταν τοῦτ' ᾖ* Flor. Chr. Elmsl. (Ed. Rev. XXXVII. 89.) Dind. &c. *ποιεῖν* B. *ποιεῖν* (*ποεῖν* R.V.) *ὁ Ζεὺς* R.S.V. Glossema est *ὁ Ζεύς*.

264. *δὲ καί*] An *δέ τοι*? *μή 'στι*] *γ' ἐστὶ* Hamaker. *καρπίμων*] *πρῷα καρπία* ex Aristophane memorat Pollux 7, 152, ubi *καρπία* librarii errore scriptum videtur pro *κάρπιμα*. DIND. *πρώια* S. *πρώϊα* R.V. *πρώϊμα* B.C. Ald. *πρῷμα* Scal. Bentl. Br. *πρῶμα* Pierson. ad Moer. p. 300. *πρῷα* Pors. Dind., coll. Phrynicho in Bekk. Anecd. p. 61, 17. *πρῷον*: *τὸ ὑπὸ τῶν πολλῶν πρώϊμον*. Lobeck. ad Phrynich. p. 52. Cf. ad Pac. 1164. Alteram

ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἐρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν ὁ γέρων οὐδ' ὑπ-
ακούει; στρ.
μῶν ἀπολώλεκεν τὰς
ἐμβάδας, ἢ προσέκοψ' ἐν
τῷ σκότῳ τὸν δάκτυλόν που,
εἶτ' ἐφλέγμηνεν αὐτοῦ
τὸ σφυρὸν γέροντος ὄντος;

formam πρῷμος e Lemniis laudat Poll. 7, 152, nisi et illic restituendum πρῷος. Alibi forma καρπεῖα usus est noster, teste eodem 7, 149. Cf. ἠρῷναι Nub. 315.

265. δὴ βόρειον soli B.Δ. θέρειον Hamaker. Non imbriferum enim ventum esse Boream.

266. ἄρα V. ὀὐκ B.C.S.V. οἰκίας γε soli B.Δ.

267. ὡς] ὥστ' Cobet. (Mnem. l. l.) Male. νῦν δεῦρο soli B.Δ.

268. ἦν ὅδ' soli B.Δ. πρὸ τοῦ (sic) B.C.R.S.V.

269. ἂν ᾄδων B.R.S.V.(?) Bentl. Dawes. (M. C. p. 267.) Reisk. Br. &c. ἀνάιδων V. (s. Cob.) ἀνᾴδων Ald. ἀναείδων Suidas in ἐφόλκια. Φρυνίχου τι soli B.Δ. ἐστιν B.R.S.V. ἔστι γ' C. ἀνήρ] ἀνὴρ libri. Correxit Dawes.

270. δοκεῖ νῦν soli B.Δ.

271. ἐκκαλεῖν S.V. Bentl. Dawes. (M. C. p. 266, vel ἐκκαλεῖσθ'). ἐκβαλεῖν B.C.R. Ald. Praestat forsan ἐκκαλεῖσθ'. Cf. 221. οἷς ἐκκαλοῦνται τοῦτον. Eccl. 33. φέρε τὴν γείτονα | τήνδ' ἐκκαλέσωμαι. Contra ἐκκάλεσον (*call him out for me*) recte Ach. 402. Lys. 850. &c. ἤν τί πως C.R.S.V. ἐάν τί πως B.Δ. Scribendum forsan ἢν ἴσως, *si forte*.

272. ἐρπύσῃ S.V. Flor. Chr. Pors. Br. ἐξερπύσῃ B.C.R. Ald.

274. ἀπολώλεκε B.C.R.S.V. vulg. Bergk. Richt. ἀπολώλεκεν Herm. El. D. M. p. 502. Dind. Mein.

275. προσέκοψεν R.V.(?) προσέκοψε B.C.S. Ald. Br. προσέκοψ' ἐν Bentl. Herm. de M. p. 326. Dind. Cf. 256. ἐν τῷ σκότῳ. Ach. 1169. ἐν σκότῳ. προσέκοψε τῷ B.C.

276. τὸν σφυρὸν S. εἶτ' ἐφλέγμηνεν αὐτοῦ libri et vulg. λίθῳ, εἶτ' ἐφλέγμηνεν (ejecto αὐτοῦ, ut metrum congruat cum versu ant. 283. διὰ τοῦτ' ὀδυνηθεὶς) Herm. ἐπεφλέγμηνε δ' αὐτοῦ conj. Bergk. ed. Richt. εἶτ' ἐφλέγμηνεν (et in versu antistroph. 283. τοῦτ' ὀδυνηθεὶς) Madvig. ἐφλέγμηνεν correpta syllaba secunda dixisse videtur noster. Quam licentiam sibi et

οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.
ΠΑ. εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί·
κᾄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
ΧΟ. ἦ μὴν ἐγὼ σοῦ χἀτέρους μείζονας κολάζω.
ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι,
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν τοῦτ' ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή 'στι πρῷα

253. τίμιον C.R.S.V. τι τίμιον (τὶ B.) B.Γ.Δ.

254. αὖθις] αὖ τοῖς Cobet. (Mnem. l. l.) Richt. κονδύλοις S. κονδύλοισι R.V.Δ. κονδύλοισιν B.C.

255. ἄπειμεν S.V. αὐτοί] αὖθις Elmsl. n. ms. Kiehl. Cobet. l. l. Richt. Idem ipse conjeceram. Cf. Ran. 1486. οἴκαδ' αὖθις πάλιν ἄπεισ'. Saepe αὖτις (unde αὐτοὶ, ut videtur) pro αὖθις in libris scriptum. Possis etiam non male εὐθύς. Quod si verum est αὐτοὶ, redde *ipsi soli*.

256. σκότῳ C.R.S.V. σκότῳ γε B.Δ. τουτουὶ B.R. τουτοῖ V. τουτωῒ S.

257. ἀτταγῆς C. Dein που add. B.Δ. non C.R.S.V.

258. σου C. Mein. σε (supr. ου) B. σοῦ Bekk. Dind. μείζονας C.R.S.V. γε μείζονας B.Δ.

259. οὑτοσί] οὐ ποσίν (supr. το) B. μοι] μή R. τοι malit Mein., qui post h. v. lacunam unius versus indicandam esse putat. βόρβορος B.R. βάρβαρος S.V. μάρμαρος Herm. Bergk. Mein. Idem ipse conjeceram. Cf. Cobet. V. L. p. 283. Dein νῦν add. B.Δ. non C.R.S.V. πατοῦντα S.V.

260. ἡμερῶν γε B.Δ. non C.R.S.V.

261. ἔχει δὴ soli B.Δ.

262-3. Puero dat Hermannus (de choro Vesp.), quippe quorum sit, lucernas gestantium, eas observare. γοῦν] δ' οὖν malit Richt. γοῦν δὴ soli B.Δ. τοῖσι B.C. μυοῦντες C.

263. Hunc versum, ut Aristophane indignum et interpolatum, damnant Hirsch. Hamaker. Cobet. Mein. Neque enim recte dici ποιεῖν ὑετὸν pro ποιεῖν ὕδωρ, neque ὅταν τοῦτ' ᾖ pro ὅταν τοῦτο γένηται dictum Attico poeta dignum esse contendit Cobetus. δὲ C. ὅταν ᾖ τουτὶ C.R.S.V. vulg. ὅταν γ' ᾖ τοῦτο B.Δ. ὅταν τοῦτ' ᾖ Flor. Chr. Elmsl. (Ed. Rev. XXXVII. 89.) Dind. &c. ποιεῖν B. ποιεῖν (ποεῖν R.V.) ὁ Ζεὺς R.S.V. Glossema est ὁ Ζεύς.

264. δὲ καί] An δέ τοι? μή 'στι] γ' ἐστὶ Hamaker. καρπίμων] πρῷα καρπία ex Aristophane memorat Pollux 7, 152, ubi καρπία librarii errore scriptum videtur pro κάρπιμα. DIND. πρώια S. πρώϊα R.V. πρώϊμα B.C. Ald. πρῷμα Scal. Bentl. Br. πρῶμα Pierson. ad Moer. p. 300. πρῷα Pors. Dind., coll. Phrynicho in Bekk. Anecd. p. 61, 17. πρῷον: τὸ ὑπὸ τῶν πολλῶν πρώϊμον. Lobeck. ad Phrynich. p. 52. Cf. ad Pac. 1164. Alteram

ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἐρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν ὁ γέρων οὐδ' ὑπακούει; *στρ.*
μῶν ἀπολώλεκεν τὰς
ἐμβάδας, ἢ προσέκοψ' ἐν
τῷ σκότῳ τὸν δάκτυλόν που,
εἶτ' ἐφλέγμηνεν αὐτοῦ
τὸ σφυρὸν γέροντος ὄντος;

formam *πρῷμος* e Lemniis laudat Poll. 7, 152, nisi et illic restituendum *πρῷος*. Alibi forma *καρπεῖα* usus est noster, teste eodem 7, 149. Cf. *ἠρῷναι* Nub. 315.

265. *δὴ βόρειον* soli B.Δ. *θέρειον* Hamaker. Non imbriferum enim ventum esse Boream.

266. *ἄρα* V. *οὐκ* B.C.S.V. *οἰκίας γε* soli B.Δ.

267. *ὡς*] *ὥστ'* Cobet. (Mnem. l. l.) Male. *νῦν δεῦρο* soli B.Δ.

268. *ἦν ὅδ'* soli B.Δ. *πρὸ τοῦ* (sic) B.C.R.S.V.

269. *ἂν ᾄδων* B.R.S.V.(?) Bentl. Dawes. (M. C. p. 267.) Reisk. Br. &c. *ἀνάιδων* V. (s. Cob.) *ἀνᾴδων* Ald. *ἀναείδων* Suidas in *ἐφόλκια*. *Φρυνίχου τι* soli B.Δ. *ἐστιν* B.R.S.V. *ἔστι γ'* C. *ἀνήρ*] *ἀνὴρ* libri. Correxit Dawes.

270. *δοκεῖ νῦν* soli B.Δ.

271. *ἐκκαλεῖν* S.V. Bentl. Dawes. (M. C. p. 266, vel *ἐκκαλεῖσθ'*). *ἐκβαλεῖν* B.C.R. Ald. Praestat forsan *ἐκκαλεῖσθ'*. Cf. 221. *οἷς ἐκκαλοῦνται τοῦτον*. Eccl. 33. *φέρε τὴν γείτονα | τήνδ' ἐκκαλέσωμαι*. Contra *ἐκκάλεσον* (*call him out for me*) recte Ach. 402. Lys. 850. &c. *ἤν τί πως* C.R.S.V. *ἐάν τί πως* B.Δ. Scribendum forsan *ἢν ἴσως*, *si forte*.

272. *ἐρπύσῃ* S.V. Flor. Chr. Pors. Br. *ἐξερπύσῃ* B.C.R. Ald.

274. *ἀπολώλεκε* B.C.R.S.V. vulg. Bergk. Richt. *ἀπολώλεκεν* Herm. El. D. M. p. 502. Dind. Mein.

275. *προσέκοψεν* R.V.(?) *προσέκοψε* B.C.S. Ald. Br. *προσέκοψ' ἐν* Bentl. Herm. de M. p. 326. Dind. Cf. 256. *ἐν τῷ σκότῳ*. Ach. 1169. *ἐν σκότῳ*. *προσέκοψε τῷ* B.C.

276. *τὸν σφυρὸν* S. *εἶτ' ἐφλέγμηνεν αὐτοῦ* libri et vulg. *λίθῳ, εἶτ' ἐφλέγμηνεν* (ejecto *αὐτοῦ*, ut metrum congruat cum versu ant. 283. *διὰ τοῦτ' ὀδυνηθεὶς*) Herm. *ἐπεφλέγμηνε δ' αὐτοῦ* conj. Bergk. ed. Richt. *εἶτ' ἐφλέγμηνεν* (et in versu antistroph. 283. *τοῦτ' ὀδυνηθεὶς*) Madvig. *ἐφλέγμηνεν* correpta syllaba secunda dixisse videtur noster. Quam licentiam sibi et

ἢ τάχ' ἂν βουβωνιῴη.
καὶ μὴν πολὺ δριμύτατός γ' ἦν τῶν παρ' ἡμῖν,
καὶ μόνος οὐκ ἂν ἐπείθετ'·
ἀλλ', ὁπότ' ἀντιβολοίη
τις, κάτω κύπτων ἂν οὕτω,
"λίθον ἕψεις," ἔλεγεν.
τάχα δ' ἂν διὰ τὸν χθιζινὸν ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ' ἀντ.
ἐξαπατῶν, λέγων ὡς

tragicos nonnunquam et Aristophanem sumpsisse notatum est a Porsono ad Eurip. Hec. 302. Sed dubitari potest an istam licentiam sibi concesserint comici antiqui; nisi forte ea in carmine excusari debet. Nullum certe aliud ejusmodi licentiae exemplum apud eos offendi. Exempla hujusmodi correptionis haec repperi, Menand. Sent. Mon. 15. ἀβουλίᾳ τὰ πολλὰ βλάπτονται βροτοί. 530. φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει. Fr. Inc. 91. μὴ τοῦτο βλέψῃς &c. Fr. Inc. 474. πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα. Aesch. Ag. 1629. Ὀρφεῖ δὲ γλῶσσαν &c. Pers. 591. οὐδ' ἔτι γλῶσσα βροτοῖσιν. Suppl. 761. βύβλου. Soph. Oed. R. 717. παιδὸς δὲ βλάστας... Oed. C. 972. ὃς οὔτε βλάστας. El. 440. πασῶν ἔβλαστε. 1060. ἀφ' ὧν τε βλάστωσιν. El. 1081. ὧδε βλάστοι. Phil. 1311. ἐξ ἧς ἔβλαστες ... Tr. 842. δόμοισι βλάβαν. Fr. 124. ἐπεὶ δὲ βλάστοι. Trag. inc. ap. Schol. Soph. Ant. 620. Vide ad 570 infra. De hac quaestione dixerunt Gaisf. ad Heph. p. 218. Erf. ad Soph. Aj. 1066. Elmsl. ad Med. 288. Meinek. Com. Graec. Fr. I. p. 294. Ut in re incerta vulgatam retinui et hic et in v. Ant. 283.

277. καὶ τάχ' A.C.R.V. καὶ δὴ τάχ' B. Praestat, opinor, ἢ τάχ'. βουβωνιῇ S. ἦ μὴν ... γ' vulg. Malim καὶ μὴν ... γ', aut saltem ἦ μὴν ... τ'. Cf. 258.

278. ἂν ἐπείθετ' C corr. R.V. ἀνεπείθετ' S. Dobr. (coll. 101. 568. 586. 974. &c.) ἀνεπείθετο B.Δ. ἂν ἐπείθετο Ald. ἂν ἔπειθε τἄλλα C pr. Opus est particula ἂν, ut in v. 279.

279. Qu. κύπτων ἄν, ὦ τᾶν, ... οὕτω] οὕτως (quare?) Mein.

280. ἕψεις S. ἔλεγε S. Post hunc versum ὕπαγ' ὦ παῖ ὕπαγε (cf. 290) add. Herm. Mein. Dind.

281. τάχα δ' ἂν] Qu. τάχα δ' αὖ: mox enim sequitur κεῖται πυρέττων. Sed cf. 277. et ad 283. χθεσινὸν libri et vulg. χθιζινὸν (hanc formam metro requirente) Herm. V. Alciphr. 3, 61. Menand. in Lex. Att. p. 438. μένω γὰρ ἐξ ἐχθιζινοῦ. Phryn. App. p. 73. Χθιζινὸν καὶ χθεσινόν· τὸ δὲ χθιζὸν Ὅμηρος. Bekk. Anecd. I. 73. Phot. p. 45, 19. Ἐχθὲς καὶ χθὲς, ἀμφότερα Ἑλληνικὰ, καὶ χθεζινὸν (χθεσ.?) καὶ ἐχθεζινόν (ἐχθεσ.?). Tertia forma est χθιζὸς, quam ut poeticam damnat Phrynichus p. 323 Lob. Eadem corruptela est Ran. 987. ποῦ τὸ σκόροδον τὸ χθιζινόν (χθεσινόν libri). Post hanc vocem γ' additum in B. διεδύετο B. διέδυ πως propter metrum conj. Dind. De διέδυ cogitavit jam Bentleius.

282. καὶ λέγων ὡς libri et vulg. λέγων ὡς καὶ Herm. Dind. &c. λέγων τε | ὡς φιλ. Herm. de M. p. 327. ἐξαπατῶν τε λέγων θ' | ὡς Richt. ἐξαπατῶν τ' ἔλεγεν conj. Bergk. Deinde φιλαθήναιος correpta diphthongo pronunti-

καὶ φιλαθήναιος ἦν καὶ
τὰν Σάμῳ πρῶτος κατείποι,
διὰ τοῦτ' ὀδυνηθεὶς
εἶτ' ἴσως κεῖται πυρέττων·
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
ἀλλ', ὦγαθ', ἀνίστασο μηδ' οὕτω σεαυτὸν
ἔσθιε, μηδ' ἀγανάκτει.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει
τῶν προδόντων τἀπὶ Θρᾴκης·
ὃν ὅπως ἐγχυτριεῖς.
ὕπαγ', ὦ παῖ, ὕπαγε.

ΠΑ. ἐθελήσεις διδόν' οὖν, ὦ πάτερ, ἦν σού τι δεηθῶ; στρ.
ΧΟ. πάνυ γ', ὦ παιδίον. ἀλλ' εἰπέ, τί βούλει με πρίασθαι
καλόν; οἶμαι δέ σ' ἐρεῖν ἀστραγάλους δήπουθεν, ὦ παῖ.
ΠΑ. μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ παππία· ἥδιον γάρ. ΧΟ. οὐδ' ἂν
μὰ Δί' εἰ κρέμαισθέ γ' ὑμεῖς.

andum. Sic Pherecrates com. II. 267. Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς ξυμμάχοις. Polyzelus com. II. 871. ἐν τῷ μύρῳ παρ' Ἀθηναίων μακαρίζεται. Fragm. Orph. II. 2. φεύγοντες δικαίων θεσμούς. 9. ἀθάνατον· παλαιὸς δὲ λόγος περὶ τοῦδε φαείνει. De correpta diphthongo apud tragicos v. Gaisf. ad Heph. p. 216. Schol. ad Aesch. Suppl. 379. Cf. ad Pac. 145. ἦν καὶ . . . κατείποι] An εἴη τὰν . . . κατειπών? Vel ἦν καὶ . . . κατεῖπε. Sed cf. 1095-1097, ubi modi variant ut hic, ἐμέλλομεν . . . ἔσοιτο. De diversorum modorum conjunctione v. Pors. ad Phoen. 91.

283. διὰ τοῦτ' ὀδυνηθεὶς libri. διὰ τοῦτ' οὖν ὀδυνηθεὶς Bentl. διὰ τοῦτον δ' ὀδυνηθεὶς Reisig. C. p. 51. τοῦτ' ὀδυνηθεὶς Madvig. διὰ τόνδ' ὠδυνήθη | κᾆτ' ἴσως κεῖται πυρέττων Richt. "Versus interpolatus, qui non respondet verbis in stropha positis εἶτ' ἐφλέγμηνεν αὐτοῦ, additus, ut videtur, quum verba poetae excidissent." DIND. Qu. τοῦτ' ὀδυνηθείη (ut in Ach. 3. ἃ δ' ὠδυνήθην), quod pendeat ex τάχα δ' ἂν v. 281.

285. ἀνὴρ libri.

286. οὕτω B.C. vulg. οὔπω S.V. οὕτως R. Dind. Mein.

287. σεαυτὸν C.R.S.V. σαυτὸν B. Ald.

288. παχύς] ταχὺς R. Junt.

289. ἐγχυτριεῖς R.S.V. αἰσχυνεῖς ἐγχυτριεῖς B.C. Ald. Παιδ. praefixum in Ald. et Junt. 291-316. Haec tractavit Herm. de M. p. 351.

291. ἐθελήσεις τί μοι οὖν vulg. ἐθελήσεις παρέχειν Hirsch. (coll. 722.) ἐθέλων γ', εἴ τι μοι ὠνεῖ, πάτερ Kiehl. in Mnem. I. 424. Vulgata mendosa videtur. Malim ἐθελήσεις διδόν' οὖν. Aut ἐθελήσεις τι ποιεῖν. Aut ἐθελήσεις δέ τι (aut δὲ σύ, aut σύ τι) δοῦν'. Aut ἀποδώσεις τί μοι οὖν.

297. παπία libri. παππία Bentl. ἥδιον] Annon ἡδίους? οὐκ ἂν vulg. Malim οὐδ' ἄν. Cf. ad Ach. 966.

298. μὰ δί' C.R.S. μὰ τὸν δί' B.V. Ald. κρέμοισθε B.C.R.? vulg. Bekk. κρέμεσθε S.V. κρέμαισθε Dobr. Dind. &c. Nub. 870. εἰ κρέμαιό γε.

ΠΑ. *μὰ Δί' οὐ τἄρα προπέμψω σε τὸ λοιπόν.*
ΧΟ. *ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου*
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ καὶ ξύλα κὤψον·
σὺ δὲ σῦκά μ' αἰτεῖς.
ΠΑ. *ἄγε νυν, ὦ πάτερ, ἢν μὴ τὸ δικαστήριον ἄρχων* ἀντ.

299. *οὐτ' ἄρα* C.R.V. *οὐτ' ἄρα* (sic) S. *οὐκ ἆρα* B. *οὐκ ἆρα* Ald. *οὐ τἄρα* Elmsl. ad Ach. 323. *οὔ τἄρα* Dind. Mein. &c. Τἄρα in sequentibus locis aut legitur in libris aut ex emendatione reponendum. Ach. 323. *δεινὰ τἄρα πείσομαι.* Eq. 366. *νὴ τὸν Ποσειδῶ κἀμὲ τἄρ', ἤνπερ γε τοῦτον ἕλκῃς.* Nub. 1154. *βοάσομαι τἄρα τὰν ὑπέρτονον βοάν.* Vesp. 1262. *μαθητέον τἄρ' ἐστὶ πολλοὺς τῶν λόγων.* Av. 895. *εἶτ' αὖθις αὖ τἄρα σοι δεῖ με . . . ἐπιβοᾶν* (cf. Lys. 933. Pl. 920). 1017. *ὑπάγοιμι τἄρ' ἄν.* 1308. *οὔ τἄρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.* 1358. *ἀπέλαυσα τἄρ' ἂν νὴ Δί' ἐλθὼν ἐνθάδε.* 1446. *λόγοισι τἄρα καὶ πτεροῦνται.* B. *φήμ' ἐγώ.* 1542. *ἅπαντα τἄρ' αὐτῷ ταμιεύει.* B. *φήμ' ἐγώ.* (Nisi in his duobus locis praestant *λόγοισιν ἆρα* et *ἅπαντά γ' ἆρ'*, collato v. 1530. *ἐντεῦθεν ἆρα τοὐπιτριβείης ἐγένετο.* | B. *μάλιστα πάντων.*) Lys. 31. *ἐπ' ὀλίγου τἄρ' εἴχετο* (?). 435. *εἰ τἄρα νὴ τὴν Ἄρτεμιν* &c. Similiter 439. 443. 447. Ejusdem fabulae 798. *κρομμύων τἄρ' οὐκ ἔδει.* 933. *νὴ Δί' ἀπολοίμην τἄρα* (cf. Eurip. Hippol. 1028). Thesm. 248. *οἰμώξεται τἄρ' εἰ* &c. Ran. 252. *δεινὰ τἄρα πεισόμεσθα.* 656. *βαδιστέον τἄρ' ἐστίν.* Similiter Eccl. 711. Pl. 920. *νὴ Δία πονηρὸν τἄρα προστάτην ἔχει.* Sophocl. El. 404. *χωρήσομαι τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.* Ajac. 1368. *σὸν τἄρα τοὔργον, οὐκ ἐμὸν, κεκλήσεται.* Oed. Col. 408. *οὔ τἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.* 1441. *δυστάλαινα τἄρ' ἐγὼ, εἴ* (*ἤν*?) *σου στερηθῶ.* Phil. 1253. *οὔ τἄρα Τρωσὶν, ἀλλὰ σοὶ, μαχούμεθα.* Trach. 321. *οὔ τἄρα . . . διοίσει γλῶσσαν.* Euripid. Heracl. 269. *οὔ τἄρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.* Suppl. 496. *οὔ τἄρ' ἔτ' ὀρθῶς . . . καπνοῦται.* Ion. 337. *οὔ τἄρα πράξεις οὐδέν.* Orest. 1335. *ἐπ' ἀξίοισι τἄρ' ἀνευφημεῖ δόμος.* Phoen. 712. *ἐξοιστέον τἄρ' ὅπλα Καδμείων πόλει.* Herc. F. 623. *καλλίονες τἄρ' εἴσοδοι τῶν ἐξόδων | πάρεισιν ὑμῖν.* Teleph. Fr. X. *οὔ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος.* Particulae *ἦ τἄρα* conjunctae leguntur in his locis. Euripid. Alc. 242. *ἦ τἄρα πάντων διαπρέπεις.* 732. *ἦ τἄρ' Ἄκαστος οὐκέτ' ἔστ' ἐν ἀνδράσιν.* Iph. A. 1189. *ἦ τἄρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἄν.* Heracl. 651. *ἦ τἄρ' ἐκείνῳ μὴ νομιζοίμην ἐγὼ | μήτηρ ἔτ'.* Hippol. 1028. *ἦ τἄρ' ὀλοίμην ἀκλεής.* 480. *ἦ τἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν.* Vide Elmsleium ad Ach. 323. et ad Eurip. Heracl. 269. In sequentibus locis interrogativis praestat, opinor, *οὐκ ἆρα* potius quam *οὔ τἄρα.* Nub. 1252. *οὐκ ἆρ' ἀποδώσεις;* Av. 91. *οὐκ ἆρ' ἀφῆκας;* Soph. Phil. 106. *οὐκ ἆρ' ἐκείνῳ 'στ' οὐδὲ προσμῖξαι θρασύ;* 114. *οὐκ ἆρ' ὁ πέρσων σφ', ὡς ἐφάσκετ', εἴμ' ἐγώ;* Cf. Eccl. 672. *οὐδὲ κυβεύσουσ' ἆρ' ἄνθρωποι;* *τὸ λοιπὸν* B. *το λοιπὸν* C.

300. *μισθαρίου* C.R.S.V. *μισθαρίου νῦν* Ald. *μισθαρνίου νῦν* B.

301. *αὐτὸν* C.R.S.V. Br. *αὐτόν τε* B. *αὐτόν τ'* Ald.

302. *κῶψον* B. *κῶψον* C. *σὺ δὲ* C.R.S.V. *σὺ δὲ νῦν* B. Ald. Mox *ἒ ἒ* add. Herm. Mein.

303. *νῦν* B.C.R. vulg. *νυν* Dind. &c.

304. *ἄρχων* C.R. *ὠ 'ρχων* B. *ὤρχων* V. *ὠ 'ρχων* S. vulg. *ἄρχων* Dind. &c. Infra 1441. *ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.*

καθίσῃ νῦν, πόθεν ὠνησόμεθ' ἄριστον; ἔχεις ἐλ-
πίδα χρηστήν τινα νῷν ἢ πόρον Ἕλλας ἱρὸν εὑρεῖν;
ΧΟ. ἀπαπαῖ φεῦ, ἀπαπαῖ φεῦ, μὰ Δί' οὐκ οἶδ' ἔγωγε νῷν
ὁπόθεν τὸ δεῖπνον ἔσται.
ΠΑ. τί με δῆτ', ὦ μελέα μᾶτερ, ἔτικτες;
ΧΟ. ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.
ἀνόνητον ἄρ', ὦ θυλάκιον, σ' εἶχον ἄγαλμα.
ΠΑ. ἒ ἔ·
πάρα νῷν στενάζειν.
ΦΙ. φίλοι, τήκομαι μὲν

305. *καθέσῃι* R. *ὠνησόμεσθ'* B.

308. *ἔλλας ἱερὸν* S.V. *ελας* (sic) *ἱερὸν* R. *ἑλλὰς ἱρὸν* C. *ἑλλάστερον* (sic) B. *'Ελλὰς ἱερὸν* vulg. *Ἕλλας ἱρὸν* Herm. Dind. &c. *εἰπεῖν* add. Herm. El. D. M. p. 502. Dind. Mein. om. Bergk. Richt. *ἱερόν που* Herm. Mihi probabilior emendatio videtur *εὑρεῖν*, quod post similem vocem *ἱερὸν* facile excidere potuisset.

309. *ἀπαπαὶ* (*ἀππαπαὶ* C.) *φεῦ* semel libri et vulg. *ἀπαπαῖ φεῦ* bis Herm. Dind. &c.

310. *οὐκ* C.R.S.V. *οὔκουν* B. Ald. *ὁπόθεν* C.R.S. Junt. 2. *ὁπόθε* V. *ὅθεν* B.P.Δ. Ald. Cf. Pl. 534. *ζητεῖν ὁπόθεν βίον ἕξει*. Eq. 1193. *οὐκ ἔγωγε νῷν οἶδ'* vulg. *οὔτοι* [*οὐχὶ*?] *σφῷν ἔγωγ' οἶδ'* Hermannus, qui patrem duos pueros alloqui monet. Ipse malim *οὐκ οἶδά γ' ἐγὼ νῷν*, aut potius *οὐκ οἶδ' ἔγωγε νῷν*.

311. *ὁπόθε* V. *γε* libri et vulg. *τὸ* Cobet. (Mnem.) Richt. prob. Mein. *δὴ* Mein. *τὸ* jamdudum ipse conjeceram.

312-13. Locum obscurum vera restituta interpunctione optime sanavit Cobetus V. L. p. 67. in hunc modum: 'Ο *παῖς*. Τί *με δῆτ' . . . ἔτικτες;* | 'Ο *πατήρ*. Ἵν' *ἐμοὶ . . . παρέχῃς*. Ita etiam Bergk. Mein. Dind. Vulgo omnia pueri sunt, absque sensu. Et sic Richt. Ipse olim tentabam *ἵνα σοι . . . παρέχω*.

312. *μῆτερ* C.R.S.V. vulg. *μᾶτερ* B.Δ. Richt. Cf. ad 342.

313. *βόσκει* (supr. *ν*) B. *βοσκεῖν* S. *παρέχεις* S. Richt.

315. ΧΟ. C. vulg. Richt. ΠΑ. Mein. Nulla persona in B. Choro cont. Dind. *ἀνόνητόν γ'* B. non C. *ἄρα σ' ὦ θυλάκιόν γ'* libri. *ἄρ' ὦ θυλάκιόν σ'* Herm. Dind. Mein. Hirsch. Bergk. Richt.

316. ΠΑ. vulg. Dind. (ΠΑ.) cont. Mein. ΧΟ. *καὶ* ΠΑ. Richt. *ἒ ἒ* vulg. Mein. om. B. *ἐή* Dind. Saepius apud Euripidem legitur haec exclamatio. Extra versum esse *ἒ ἒ* monuit Herm. El. D. M. p. 504.

317 sq. Hoc carmen tractavit Herm. El. D. M. p. 746. etiam Porson. ad Hec. 1161. Opusc. p. xcii. 317. *φίλοι, τήκομαι μὲν* | *πάλαι διὰ τῆς ὀπῆς*] Ita versus recte divisi et scripti in R.V. [et C.S.] Vulgo [et in B.] *φίλοι, πάλαι μὲν τήκομαι διὰ τῆς ὀπῆς*, ex conjectura correctoris trimetrum iambicum facientis. Prior versus ex duobus bacchiis est compositus, quos versibus glyconeis similiter praemisit Euripides in Suppl. 993. *τί φέγγος, τίν' αἴγλαν* |

πάλαι διὰ τῆς κάπνης
ὑμῶν ὄπ' ἀκούων·
ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἴμ'
ᾄδειν, τί ποιήσω;
τηροῦμαι δ' ὑπὸ τῶνδ'· ἐπεὶ
βούλομαί γε πάλαι μεθ' ὑ-
μῶν ἐλθὼν ἐπὶ τοὺς καδί-
σκους κακόν τι ποιῆσαι.
ἀλλ', ὦ Ζεῦ Ζεῦ, μέγα βροντήσας
ἤ με ποίησον καπνὸν ἐξαίφνης

ἐδίφρευε τόθ' ἅλιος | σελάνα τε κατ' αἰθέρα. et Ion. 190. Duos hujus metri versus glyconeis interposuit Aristophanes in Thesmoph. 1143. 1144. DIND. τήκομαι μὲν πάλαι C.R.S.V. πάλαι μὲν τήκομαι B. vulg. κατατήκομαι πάλαι Herm. Richt. Qu. τήκυμαι μὲν πάλαι δή. ὀπῆς vulg. Dedi κάπνης. Cf. 143. Nullum foramen (ὀπὴν) fuisse constat ex vv. 350-353.

318. ὑπακούων vulg. ἐπακούων Cobet. Mein. ὄπ' ἀκούων Herw. Cf. Av. 205. et ad Nub. 263. ἀλλὰ γὰρ (ἀλλ' ἀτὰρ S.V.) οὐχ οἷός τ' εἴμ' C.R.S.V. Br. Mein. ἀλλ' οὐχ οἷός τ' εἴμ' B. Ald. ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἴμ' Dind. Richt. ἀλλ' οὐ γὰρ ὁμοῦ γ' οἷός τ' εἴμ' Reisig. Conj. p. 199. Praestat forsan ἀλλ' οὐ γὰρ οἷός τ' ἰδεῖν, omissis istis τί ποιήσω, ut ex vicino v. 322. τι ποιῆσαι ortis, cum Bentleio et Porsono. Ne quem autem offendat omissum εἰμὶ, cf. Eq. 343. ὁτιὴ λέγειν οἷός τε κἀγώ. Duos iambicos efficit Porson. ad Hec. 1161. φίλοι, πάλαι μὲν τήκομαι διὰ τῆς ὀπῆς | ὑμῶν ὑπακούων, ἀλλὰ γὰρ οὐχ οἷός τ' ἰδεῖν.

319. ᾄδειν libri et vulg. ἰδεῖν Dawes. Bentl. Pors. ad Hec. 1169. Elmsl. ad Ach. 178. (Dawes: "Nempe obturata erant, inquit, omnia praeter caminum; ei autem ipsi rete obtentum.") Certe ᾄδοντες pro ἰδόντες habet Aldina infra v. 1526. Sed neutrum hic convenit. Nihil enim impediebat quominus cantaret senex quantum luberet; sodales vero videre poterat per fenestram (379) prospiciens. Qu. ἐκθεῖν, aut οἷός τ' ἔτ' ἐξέρπειν (ἐκβαίνειν, ἐξελθεῖν, ἐκδῦναι). "ᾄδειν] Supra v. 268. de Philocleone dicebat Chorus, πρῶτος ἡμῶν ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ φιλῳδός." BE. ᾄδειν. τί ποιήσω; vulg. Praestat ᾄδειν, τί ποιήσω (qu. πάθω 'γώ); Cf. Nub. 798. ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν, τί ἐγὼ (al. γὰρ) πάθω; ποήσω V. τηροῦμαι δ' C.R.S. Dind. τηροῦμ' B.V. Ald. τηροῦμαί γ' Bentl. τῶνδ', ἐπεὶ C.R.S.V. τῶνδε καὶ B.P. Ald.

320. πάλαι πάνυ C.R.S.V. πάλαι (sup. πάνυ) B. πάλιν Ald.

323. Ζεῦ semel libri et Bergk. bis Porson. Herm. Dind. Mein. Richt. Cf. ad Lys. 972. Eur. El. 125. Possis etiam non male Ζεῦ, νῦν. μέγα βρόντα vulg. Hirsch. μεγαβρόντα B.C. Reisk. Mein. Bergk. μέγα βρόντησον Pors. Herm. μέγα βροντήσας Dind. Richt. Verum fortasse μεγαβρόντα. Cf. Pac. 377. ὦ Ζεῦ κεραυνοβρόντα. Pind. Fr. Inc. 24. καρτεροβρόντα.

324. ἤ με C.R.V. ἢ 'μὲ S. καί με (sup. ἤ) B. καί με P. Ald. Scilicet propter praecedens βρόντα. καπνόν] Καπνὸν Bergkius, Theogenem quendam famosum jactatorem sic dictum monens ex schol. ad Av. 822.

ἢ Προξενίδην ἢ τὸν Σέλλου
  τοῦτον τὸν ψευδαμάμαξυν·
τόλμησον, ἄναξ, χαρίσασθαί μοι,
  πάθος οἰκτείρας·
ἤ με κεραυνῷ διατινθαλέῳ
  σπόδισον ταχέως,
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμόν·
ἢ δῆτα λίθον με ποίησον ἐφ' οὗ
  τὰς χοιρίνας ἀριθμοῦσι.
ΧΟ. τίς γάρ ἐσθ' οὑνταῦθά σ' εἴργων στρ.
κἀποκλῄων τῇ θύρᾳ; λέ-
ξον· πρὸς εὔνους γὰρ φράσεις.
ΦΙ. οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὑτοσὶ πρόσθεν καθεύδων· ἀλλ' ὕφεσθε τοῦ τόνου.
ΧΟ. τοῦ δ' ἐφέξων, ὦ μάταιε, ταῦτα δρᾶν σε βούλεται

325. Προξενίδην S.V. Pors. Dind. &c. Προξενιάδην B.C.R. vulg.

326. ψευδαμάμαξυν B.C. et (sec. Bekk.) R.V. ψευδομάμαξυν R.V. ψευδαμάμαξιν fort. S.

329. διὰ τινθαλέῳ (per tmesin) Scal. Pors. σπόδισον R. σπόνδισον V. πόνδισον S. σπόνδησον (eras. pr. σ) B. πόνεσον C.

331. εἰς ἅλμην Anecd. Bekk. p. 439, 6. θερμὴν vulg. θερμὸν Athenaeus IX. p. 385. Recte, opinor. Cf. Cratin. com. II. 95. εἰς ἅλμην . . . χλιαρὸν ἐμβάπτων ὃς ἂν ὀπτύτατος &c. Scilicet θερμὸν mutavit librarius aliquis in θερμὴν, qui epithetum ad ὀξάλμην referret.

332. ἢ δῆτα λίθον με vulg. Qu. ἢ καί με λίθον, vel ἢ τόν γε λίθον με. Displicet certe vulgata. πόησον R.

334. γάρ ἐσθ'] γὰρ ἔσθ' B.C. ὁ ταῦτά σ' εἴργων C.S.V. vulg. ὁ ταύτας εἴργων B.R. οὑνταῦθά σ' εἴργων Mein. ὦ τᾶν, ὅ σ' εἴργων Herwerd. ad Oed. R. 264. Scribendum potius εἴργων *includens* quam εἴργων *prohibens*. Cf. 384. 719. κἀποκλείων vulg. κατακλείων V. κἀποκλῄων Dind. Mein. κἀποκλείων τὰς θύρας om. S. τὰς θύρας B.C.R. vulg. τῆι θύραι V. τῇ θύρα (V.). τῇ θύρᾳ Bergk. Richt. ταῖς θύραις Reisig. Conj. p. xi. Verum videtur τῇ θύρᾳ, quod jampridem ipse conjeceram. De constructione ἀποκλείειν τῇ θύρᾳ, et quae sunt similia, dixi ad Ach. 127. Cf. Vesp. 775. 719. Eccl. 420. Singulare ἡ θύρα ponitur 142. 152. 199. sed ταῖσι θύραις 362.

336. ὁὑμος B.C.

337. πρόσθες V.

338. ἐφέξειν B.C.S.V. Ald. vulg. ἔφεξιν R. Bekk. Dobr. Dind. Mein. Richt. ἐφέξων Reisk. Dobr. ἀφέξων (i. e. κωλύσων) Bentl. "ἔφεξιν legit schol., qui τίνος χάριν interpretatur, additque παρὰ δὲ τοῖς τραγικοῖς ἔφεξις ἡ πρόφασις. Quod vere dictum esse apparet ex Hesychii glossa, Ἔφεξιν: χάριν, ἕνεκα, ἐποχὴν, πρόφασιν. Εὐριπίδης Πειρίθῳ." DIND. "τοῦ δ' ἐφέξων (i. e. παύσων), vel τοῦ δ' ἔφεξιν, *by way of a prevention from what?*" DOBR. Neutro

καὶ τίνα πρόφασιν ἔχων;
ΦΙ. οὐκ ἐᾷ μ', ὦνδρες, δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν,
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ'· ἐγὼ δ' οὐ βούλομαι.
ΧΟ. τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χα-
νεῖν ὁ Δημολογοκλέων ὅδ'
ὅτι λέγεις σύ τι περὶ τῶν νεῶν
ἀληθές; οὐ γὰρ ἄν ποθ'

sensu ἔφεξιν usurpasse videntur Comici. Corrigendum forsan τοῦ δ' ἐπισχεῖν . . . ταῦτα δρῶν σε βούλεται? (Cf. Dem. p. 131. οὐκ ἔνι ταύτης [τῆς πλεονεξίας] ἐκεῖνον ἐπισχεῖν. Xen. An. III. 4. 36. ἐπέσχον τῆς πορείας.) Vel τοῦ δ' ἀπείργειν . . . δρῶν &c. Cf. infra 467. τῶν νόμων ἡμᾶς ἀπείργεις, ὧν ἔθηκεν ἡ πόλις, | οὔτε τιν' ἔχων πρόφασιν οὔτε λόγον εὐτράπελον. Vel τοῦ δὲ παύειν. (Cf. Pl. 725.) Vix scripsisset, opinor, Comicus δρᾶν βούλεται pro δρᾷ. Adde quod sic melius respondebit responsum senis οὐκ ἐᾷ μ' . . . Δρᾶν ex eadem sede versus 340 huc migrasse videatur. Brunckius jam tacite ἐφέξειν . . . δρῶν dedit. δρᾶν libri. δρῶν Br. Fortasse recte.

339. τίνα πρόφασιν ἔχων libri et vulg. τίνα πρόφασιν δ' ἔχων Herm. καὶ τίνα πρόφασιν ἔχων Bergk. Richt. ἢ τίνα . . . Mein. Omissis his verbis lacunae signum ponit Dind. "Verba metro carentia τίνα πρόφασιν ἔχων non poetae, sed interpretis esse, qui illud τοῦ δ' ἔφεξιν vellet interpretari, ab Florente Christiano est animadversum. Sumpta autem fortasse sunt ex v. 468. οὔτε τιν' ἔχων πρόφασιν. Poetae verba interciderunt." DIND. Respondent in antistropha verba ἀλλ' ἔπαγε τὴν γνάθον (duo cretici).

340. ἐᾷ] ἐᾶν S. ὤνδρες (sic) B.C.

342. χανεῖν mihi suspectum. Quid enim ἔχανε Philocleo? An ποιεῖν aut σε δρᾶν reponendum? δημολογυκλέων C.R.S. δαμολογοκλέων Δ. et (s. η) B. δημολόγος κλέων V. Δημοκλονοκλέων aut Δημογελοκλέων Reisk. Δημολοχοκλέων Hotib. δεινολογοκλέων Herm. μισολογοκλέων conj. Halbertsm. et Mein. "Quid poeta dixerit tanto minus divinari potest, quum proxima verba exciderint. Quorum loco quae nunc leguntur, ὅτι λέγεις τι περὶ τῶν νεῶν ἀληθές, grammatici alicujus supplementum sunt, qui tamen non νεῶν scripserat, quod scholiasta bona fide accipiens per τριήρων explicat, sed νέων. His igitur ejectis remotoque quod Hermannus ante ὅτι intulit ὅδ', tot syllabarum lacuna est ponenda quot excidisse versuum antistrophicorum comparatio docet. Δημολόγος si recte scriptum est, κλέων syllabae ex glossemate Βδελυκλέων remansisse erunt putandae." DIND.

343. ὅδ' ante ὅτι add. Herm. Bergk. Mein. Richt. Dind. ὅτι λέγεις τι περὶ C.R.S.V. (om. τι) et (ut vid.) schol. εἴπερ λέγεις περὶ (γρ. ὅτι λέγεις τι περὶ in marg.) B. εἴπερ λέγεις περὶ Ald. ὅτι λέγεις περὶ Br. ὅτι λέγεις σύ τι περὶ Mein. ὅτι λέγεις τι σὺ περὶ conj. Richt. περὶ τῶν νεῶν libri et schol. περὶ τῶν νέων Bentl. Reisk. περὶ Τορωναίων (vel τελωνείων) Herm. ἀληθὲς C.R.V. τἀληθὲς S. Br. ἀληθὲς ἂν B. Ald. τἀληθὲς ὂν Porson.

344. οὐ γὰρ . . . ἦν Philocleoni tribuebantur. Correxit Hermannus. DIND. ἂν add. B.C.S.V. om. R. ἀνὴρ libri. 'ἀνηρ, ni fallor, S. ἐτόλμησεν B.R. ἐτόλμησε C.V. Fort. ἐτόλμησ' ἄν.

οὗτος ἀνὴρ τοῦτ' ἐτόλμη-
σεν λέγειν, εἰ
μὴ ξυνωμότης τις ἦν.
ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν,
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.
ΦΙ. τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς, ὡς πᾶν ἂν ἔγωγε ποιοίην·
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.
ΧΟ. ἔστιν ὀπὴ δῆθ' ἥντιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διαλέξαι,
εἶτ' ἐκδῦναι ῥάκεσιν κρυφθεὶς, ὥσπερ πολύμητις Ὀδυσσεύς;
ΦΙ. πάντα πέφρακται, κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.

346. τούτων B.C.S.V. πάντων R.

347. τοῦδε libri. τουδὶ Flor. Chr. Br. &c. ποήσει V.

348. ζητεῖσθ' (V.). πᾶν vulg. Legendum fortasse πάντ'. Ita Dem. c. Mid. init. πάντα ποιοῦντος τούτου . . . οὐκ ἐπείσθη ὁ δῆμος. Xen. Anab. III. 1. 35. ἡμῖν δ', ἐγῷμαι, πάντα ποιητέα, ὡς μή ποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα. ἂν om. libri. add. R.? Bentl. Dawes. &c. Cf. Ach. 640. ηὕρετο πᾶν ἂν &c. ποοίην R.V. ποιοίμην C. Ald. vulg. ποιήμην B. ποιήσω S. ποιοίην Elmsl. ad Heracl. 1017. Dind. &c. "Frequens ille error est scribarum in Attica optativi forma." DIND. Cf. Isocr. p. 238. εἰ γὰρ τοῦτο ἤδη ποιοίην (sic G. ποιοίμην reliqui et vulg.). Soph. El. 1306. ὑπηρετοίην (ὑπηρετοίμην libri). Oed. C. 491. παρασταίην (al. παρασταίμην). Phil. 1302. Elmsl. ad Her. 1017. Moeris: Ποιοίην, Ἀττικῶς. ποιῴην Ἑλληνικῶς. Aoristus ποιοίην legitur praeterea Plat. Hipp. p. 252 C. Charm. p. 478 A. &c. Dem. p. 389. εἰ . . . ποιοίη (ποιοῖ pr. S.). Andoc. I. 74. ποιοῖεν. Xen. An. VII. 2. 33. ποιοίην. Cf. Nub. 752. τηροίην. 1381. νοοίης. 1432. δοκοίη. Ach. 1052. βινοίη. Soph. Oed. R. 829. ὀρθοίη. Isae. VIII. 53. δοκοίη. IX. 12. ἀμφισβητοίη. IX. 26. ἐπιδημοίη. XI. 70. λειτουργοίην. Xen. An. VII. 7. 11. ἐπαινοίη. VII. 7. 37. δοκοίης.

349. κιττῶ] κιττῶμαι Suidas in κιττῶντες et χοιρῖναι.

350. ὄπηι R. ἔνδοθεν οἷός τ' εἴης vulg. Numeris melioribus Brunckius et Porsonus per transpositionem οἷός τ' ἔνδοθεν εἴης (cf. ad Eq. 212). Nam dactylus in quarto loco non licere videtur. Cf. ad 397. Nub. 326. Reisig. Conj. p. 156 sq., qui vulgatam hic defendit. Corrigendum suspicor οἷός τ' εἴης ἔνδον. Saepe permutantur in libris ἔνδον et ἔνδοθεν. τε εἴης R. Br. ex conj. τε ἧς C.S.V. τε ἢ (supr. σ) B. τ' ἧς Ald. διορύξαι libri et vulg. διαλέξαι Herm. Mein. Dind. Glossema videatur esse διορύξαι. Hesychius huc, ut videtur, respiciens: διαλέξαι. διορύξαι. Similiter in Lys. 720. διαλέγουσαν τὴν ὀπήν.

351. ῥάκεσιν R.S. vulg. ῥάκεσι B.C.V.

352. πέφρακται libri et vulg. Mein. πέφαρκται Dind. Cf. ad Ach. 95. οὐδ' εἰ] οὐδὲν Valcken. An οὐκέτι aut οὐδ' ὅσα? Vulgata mendosa videtur.

353. ἀλλ' ἄλλο] ἄλλ' ἄλλο Hanov. Exerc. Crit. p. 120. Idem ipse tentabam. Cf. Lys. 133. ἄλλ' (ἀλλ' vulg.) ἄλλ' ὅ τι βούλει. ὀπίαν δ'] Fort. ὀπίαν γ', aut ὀπίαν μ'.

ΧΟ. μέμνησαι δῆθ' ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς ὀβελίσκους
ἵεις σαυτὸν κατὰ τοῦ τείχους ταχέως, ὅτε Νάξος ἑάλω;
ΦΙ. οἶδ'· ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ προσόμοιον.
ἥβων γὰρ κἀδυνάμην κλέπτειν ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ,
κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
ἄνδρες ὁπλῖται διαταξάμενοι
κατὰ τὰς διόδους σκοπιωροῦνται,
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
ὥσπερ με γαλῆν κρέα κλέψασαν
τηροῦσιν ἔχοντ' ὀβελίσκους.
ΧΟ. ἀλλὰ καὶ νῦν ἐκπόριζε ἀντ.
μηχανὴν ὅπως τάχισθ'· ἕ-
ως γάρ, ὦ μελίττιον.
ΦΙ. διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον.
ἡ δέ μοι Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.
ΧΟ. ταῦτα μὲν πρὸς ἀνδρός ἐστ' ἄνοντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε τὴν γνάθον.
ΦΙ. διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς,
ἀλλὰ τηρώμεσθ' ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.
ΧΟ. μηδέν, ὦ τᾶν, δέδιθι, μηδέν·
ὡς ἐγὼ τοῦτόν γ', ἐὰν γρύ-
ξῃ τι, ποιήσω δακεῖν τὴν

355. κατὰ τοῦ] κατ' αὐτοῦ S. Cf. ad 102. ταχέως additum ex R.S.V. om. C. vulg. supr. in B. Exciderat nimirum ταχέως propter vicinam similem vocem τείχους. V. Elmsl. ad Ach. 10. ὅτε Νάξος C.R.S.V. Dind. &c. ὅτε δή γ' ἡ B. Ald. vulg. 356. ἐστ' S. ἔστ' V. ἐκεῖνο R.

358. ἐφύλαττ' B.C.R.S. Flor. Chr. Dawes. ἐφύλαττε V. (s. Cob.) ἐφύλαττεν Ald.

359. ξὺν B.C.R.S.V. Dawes. Br. σὺν Ald.

363. κλέψοντα (supr. κλέψασαν) B.

365. καὶ νῦν] καινὴν conj. Dobr. et Mein. Nihil opus. τάχισθ' C.R.S.V. Flor. Chr. τάχιστα B. Ald.

366. ὦ μελίττιον B.C. ὦ μελίτιον R.S.V. Vide an reponendum sit ὦ μελ', ἐστὶ νῦν. Sed cf. 216. ἀλλὰ νῦν γ' ὄρθρος βαθύς. 368. δίκτυνα R.

369. ἐστ' C.R. ἔστ' B. ἄνοντος] ἄγοντος (*tendentis*) Reisk. Fort. ἐσθ' δρῶντος &c. Vel ἦν (vel εὖ) τείνοντος &c.

370. τὴν C.R.S.V. lemma schol. Dind. δὴ τὴν σὴν B. vulg. Dimeter creticus videtur (cf. ad 339). 371. διατέτρακται S.

373. ὦ τᾶν C.S. ὦ τὰν B. δέδιθι B. δέδιθ' R. δείδιθι S.V.

374. ποήσω R.V.

καρδίαν καὶ τὸν περὶ ψυ-
χῆς δρόμον δραμεῖν, ἵν' εἰδῇ
μὴ πατεῖν τὰ
τοῖν θεοῖν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλῴδιον εἶτα καθίμα
δήσας σαυτὸν καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους.
ΦΙ. *ἄγε νυν, ἢν αἰσθομένω τούτω ζητῆτόν μ' ἐσκαλαμᾶσθαι*
κἀνασπαστὸν ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.
ΧΟ. *ἀμυνοῦμέν σοι τὸν πρινώδη θυμὸν ἅπαντ' ἐκκαλέσαντες,*
ὥστ' οὐ δυνατόν σ' εἴργειν ἔσται· τοιαῦτα ποιήσομεν ἡμεῖς.
ΦΙ. *δράσω τοίνυν ὑμῖν πίσυνος· καί, μανθάνετ'; ἢν τι πάθω 'γώ,*
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ' ὑπὸ τοῖσι δρυφάκ-
τοις.

378. *ταῖν θεαῖν* B.C.S.V. vulg. *τῶν θεῶν* R. Inv. *τοῖν θεοῖν* Hirsch. Cobet. (V. L. p. 70.) Mein. Richt. Dind.

379. *καλώδιον* vulg. *καλῴδιον* Bergk. Mein. Dind. ("V. Boeckh. ad inscriptiones navales p. 146.") *καθίμα* B.C.R. *καθίμω* S.V. Cf. 396.

381. *νῦν* B.C. *ἐσκαλαμᾶσθαι* B.C.V. Bekk. Dind. &c. *ἐνκαλαμᾶσθαι* R. *ἐκκαλαμᾶσθαι* S. Ald. Br. Revocanda forsan vulgata. Cf. 609.

382. *κἀνασπαστὸν* libri. Dind. Bergk. Richt. *κἀνάσπαστον* Br. Bekk. Hirsch. Sic *καταπλαστὸν* Pl. 717. *εἴσω* B.C.R. *ἔσω* S.V. *ποεῖν* R. *ποήσετε* V.

383. *ἅπαντες καλέσαντες*] *πάντες καλέσαντες* Elmsl. n. ms. *ἅπαντ' ἐκκαλέσαντες* Cobet. (Mnem.) Bergk. Mein. Quod et ipse conjeceram.

384. *εἴργειν* vulg. Malim *εἵργειν*, *to confine, shut up.* *ἔσται* add. S.V. Dind. Bekk. Hirsch. Bergk. Mein. et (ex conj.) Bentl. Br. Pors. ad Med. 716. Elmsl. n. ms. Tyrwh. Dobr. om. B.C.R. vulg. *εἴσω* Reisig. Conj. p. 205. Richt. *τοιαῦτα* S.V. Dind. Hirsch. Bergk. Mein. et (ex conj.) Pors. Elmsl. n. ms. *τὰ τοιαῦτα* B.C.R. vulg. Tyrwh. Bekk. Reisig. Richt. *τὰ* ex *ἔσται* remansisse recte judicat Dind. Recte omittitur articulus: v. Nub. 1125.

385. *τοίνυν* C.R.S.V. Br. *τοίνυν γ'* B. Ald. An *τοῦτ' οὖν* aut *νυν τοὔθ'*? Aegre omitti videtur pronomen. *μανθάνετ'*] *μέμνησθ'* conj. Bentl. et Lenting. Post *μανθάνετ'* interrogandi signum ponendum, ut monuit Lenting. Cf. Ran. 195. *μανθάνεις;* Crates Poll. IX. 62. *ἡμίεκτόν ἐστι χρυσοῦ· μανθάνεις; ὀκτὼ ὀβολοί.* Alex. Athen. 383 C. *καὶ παρατίθει γ' αὐτά, παῖ, | ὅταν παρατιθῇς, μανθάνεις; ἐψυγμένα.* Terent. Andr. 300. *propera atque, audin? verbum unum cave de nuptiis.*

386. *κλαύσαντες* R. Ald. *καύσαντες* (supr. λ) B.C. *κατακλαύσαντες* S.V. Bentl. Pors. Br. Dind. &c. Fort. *καταθάψαντες.* (Dem. p. 1069. *ἐὰν δὲ . . . μὴ ἀναιρῶνται οἱ προσήκοντες, ὁ μὲν δήμαρχος ἀπομισθωσάτω ἀνελεῖν καὶ καταθάψαι.* Hom. Il. τ'. 228. *ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνησιν.* η'. 333. ω'. 611. Aesch. Ag. 1553. Lys. 107, 23.) Vel *κατακαύσαντες.* (Lys. 1218. *μῶν ἐγὼ τῇ λαμπάδι | ὑμᾶς κατακαύσω;* Herod. V. 8. *θάπτουσι κατακαύσαντες.* Isae. IV. 25. *οὔτ' ἀποθανόντα ἀνείλετο οὔτ' ἔκαυσεν οὔτε ὠστολόγησεν.* Alexis com. III. 426. *μικροῦ κατακαύσας ἔλαθ' ἑαυτόν.* Philemon. min. com. IV. 68.) Vel *καταλούσαντες.* (Cf. Nub. 838. *ὥσπερ τεθνεῶτος καταλόει*

ΧΟ. οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε, καθίει
σαυτὸν θαρρῶν κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.
ΦΙ. ὦ Λύκε δέσποτα, γείτων ἥρως· σὺ γὰρ οἷσπερ ἐγὼ κεχάρησαι,
τοῖς δακρύοισιν τῶν φευγόντων ἀεὶ καὶ τοῖς ὀλοφυρμοῖς·
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ', ἵνα ταῦτ' ἀκροῷο,
κἀβουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι·
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον,
κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω μηδ' ἀποπάρδω.
ΒΔ. οὗτος, ἐγείρου. ΞΑ. τί τὸ πρᾶγμ'; ΒΔ. ὥσπερ φωνή μέ
τις ἐγκεκύκλωται.
ΞΑ. μῶν ὁ γέρων πῃ διαδὺς ἔλαθεν; ΒΔ. μὰ Δί' οὐ δῆτ', ἀλλὰ
καθιμᾷ
αὑτὸν δήσας. ΞΑ. ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ καταβήσει

μου τὸν βίον. Soph. Ant. 901. θανόντας . . . ὑμᾶς ἐγὼ | ἔλουσα κἀκόσμησα.) θεῖναί μ'] Qu. θάψαι μ'. Cf. Eccl. 1105. ὑμεῖς δ', ἐάν τι πολλὰ πολλάκις πάθω . . . θάψαι μ' ἐπ' αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς. Attamen θήκη saepe dicitur sepulcrum. μ' C.S.V. μέ γ' B. με R. δρυφάκτοις] Pro δρύφακτος ubique δρύφαρκτος (i. e. δύσφρακτος) legendum suspicatur Richter Prol. ad Vesp. p. 120. Cf. ad Ach. 95.

387. πείσῃ S.V. 388. θεοῖσιν B.R.S. θεοῖσι C.V.

389. οἷσπερ] ὥσπερ Cobet. κεχάρησαι B.C.R. (-ται) vulg. κεχάρης V. κεχάρεις S. Legendum suspicor κεχάρηκας, ut in v. 764. ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν. Sed nihil offensionis habet forma passiva et epica in versu anapaesto. Eurip. Iph. A. 200. ἡδοναῖς δίσκου κεχαρημένος. Troad. 529. κεχαρμένοι ἀοιδαῖς. Cycl. 367. ξενικῶν κρεῶν κεχαρμένος βορᾷ. Iph. A. 1525. θύμασι βροτησίοις χαρεῖσα. Nub. 274. τοῖς ἱεροῖσι χαρεῖσαι. Th. 981. χαρέντα χορείαις.

390. δακρύοισιν B.C.S. δακρύοισι R.V. ἀεὶ C.R. Dind. αἰεὶ B.S.V. vulg. 391. ταῦτ'] Qu. τῶνδ'.

392. κλάοντα B.C. παρὰ B.C.R.S. περὶ V.

394. παρά] πρὸς conj. nescio quis. Fortasse recte. οὐρήσω μηδ'] οὐρήσομαι οὐδ' (!) Cobet. Quod minime ferendum. Cf. Pac. 1304. ἀποπαρδω (sic) R. ἀποπαρδῶ B.C.S.V. vulg. ἀποπάρδω Pors. Dind. &c.

395. 396. 397. ΣΩ. vulg. ΞΑ. Bergk. Beer. Mein. Dind.

395. φωνή μέ τις vulg. φωνή τίς μ' jure malit Hirschig. Ann. Crit. p. 71.

396. διαδύεται libri. διαδύεται αὖ Dind. Bergk. (Saepe excidit particula αὖ: v. ad Av. 567.) διαδὺς ἔλαθεν Pors. (coll. 212 sq. ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι; Liban. Op. II. p. 317 F. ἀναρριχώμενος . . . εἰς μέσα πύργου τινὸς διαδὺς ἔλαθε. Synes. Ep. 58. p. 203 A.) Hirsch. Mein. διαδύεται; ΒΔ. οὐ μὰ Δί' οὐ δῆτ' . . . Pors. Br. Inv. Herm. Richt. Sic Lys. 1171. οὐ τὼ σιὼ οὐχὶ . . . Cf. ad Nub. 1066.

397. αὑτὸν B. αὐτὸν C. ὦ μιαρώτατε libri et vulg. Dind. ὦ μιάρ' οὗτος Reisig. Conj. p. 167. Elmsl. ad Med. p. 251. (Sed dicturus fuisset potius ὦ μιαρὸς οὗτος. ut infra 900. Th. 649.) ὦ μιάρ' ἀνδρῶν Porson. Elmsl. ad Med. 1120. Dobr. Add. Mein. (Ita certe noster Ran. 1049. καὶ τί βλάπτουσ',

ΒΔ. ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν καὶ ταῖσιν φυλλάσι παῖε,
ἥν πως πρύμνην ἀνακρούσηται πληγεὶς ταῖς εἰρεσιώναις.
ΦΙ. οὐ ξυλλήψεσθ' ὁπόσοισι δίκαι τῆτες μέλλουσιν ἔσεσθαι,
ὦ Σμικυθίων καὶ Τισιάδη καὶ Χρῆμον καὶ Φερέδειπνε;
πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρίν μ' εἴσω μᾶλλον ἄγεσθαι;
ΧΟ. εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν, στρ.
ἥνπερ, ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν;
νῦν ἐκεῖνο νῦν ἐκεῖνο
τοὐξύθυμον, ᾧ κολαζό-
μεσθα, κέντρον ἐκτετάσθω.

ὦ σχέτλι' ἀνδρῶν . . .; 835. et 1227. ὦ δαιμόνι' ἀνδρῶν. Eur. Hec. 716. ὦ κατάρατ' ἀνδρῶν. Her. 567. ὦ τάλαινα παρθένων. Soph. Tr. 307. ὦ δυστάλαινα . . . νεανίδων. Eupolis ap. Eust. ad Od. λ'. p. 428, 51. ὦ δαιμόνι' ἀνδρῶν, μὴ φθονερὸν ἴσθ' ἀνδρίον. Theocr. XV. 74. φίλ' ἀνδρῶν. Callim. ap. Suid. (v. ἐπαύλια): πρηεῖα γυναικῶν. Ran. 1472. ὦ μιαρώτατ' ἀνθρώπων. Pl. 79. ὦ μιαρώτατε | ἀνδρῶν ἁπάντων. E glossemate irrepsisse videatur μιαρώτατε, ἀνδρῶν metri causa ejecto.) Ipse tentabam, οὗτος, τί ποιεῖς; ὦ μιάρ', οὐ μὴ καταβήσει; Sed nil temere mutandum. Ὦ μιαρώτατε legitur Lys. 989. Ach. 182. ὦ μιαρώτατοι supra 156. De dactylo in quarta sede tetrametri anapaesti cf. ad 350. Nub. 326. In hoc loco eo majorem excusationem habet dactylus quod mutatur persona et praecedit alter dactylus. Cf. ad Nub. 326. ὡς οὐ καθορῶ. ΣΩ. παρὰ τὴν εἴσοδον. ΣΤΡ. ἤδη νυνὶ μόλις οὕτως. ποεῖς V.

398. τὴν ἑτέραν] An τήν γε θύραν? ταῖσιν S. ταῖσι B.C.R.V.

399. ἥν πως B.C. ἤμ πως R. εἴ πως S.V. πρύμνην C corr. Elmsl. in Mus. Cant. 6. p. 278. Dind. &c. πρύμναν B.R.S.V. vulg. Cf. ad Soph. Phil. 482. εἰς ἀντλίαν, εἰς πρῷραν, εἰς πρύμνην (vulgo ἐς πρύμναν), ὅποι &c. Scilicet forma Ionica et antiquior est πρύμνη (Herod. I. 1. &c.), recentior πρύμνα (Thuc. II. 97. κατὰ πρύμναν). "Veteres πρύμνη dixerunt, ut λίμνη; recentiores πρύμνα, ut μέριμνα." (Elmsl. ad Heracl. 19.) Similiter τόλμη pro τόλμα interdum positum (Dind. ad Eur. Ion. 1416). Sic etiam θέρμη et θέρμα (Plat. Theaet. p. 129 E. Menand. com. IV. 98).

400. ΦΙ. Flor. Chr. Reisk. Br. &c. ΒΔ. Ald. ὁπόσοις B.S.V. ὁπόσοι C.R. ὁπόσοισι Flor. Chr. Scal. &c.

401. Χρήμων libri et vulg. Χρῆμον malit Dind. Τισιάδη] σιτιάδη S.

402. πότε δ'] πότε τ' R. ποτ' ἆρ' conj. Dobr. εἰ μὴν νῦν Ald. non libri.

404. σφηκιὰν B.R.S.V. Kust. &c. σφηκίαν Ald.

407. ἐντέταται ὀξύ] Ineptum metro supplementum, quo ejecto quot syllabarum lacuna sit ponenda non liquet, quum antistrophicus quoque versus 465 labem contraxerit. DIND. ἐντέταται ὀξὺ Herm. ἐντετάμεθ' ὀξὺ Mein. ἐντέταται ὀξέως conj. Bergk. Lacunam indicat Dind. Qu. ἐκτετάσθω (om. ὀξύ), et in v. ant. 465. ὡς ἐλάνθανεν ὑπιοῦσά μ'. Vel sic, τοὐξύθυμον κέντρον, ᾧ κολ-|αζόμεσθ', ἐκτείνεται (vel ἐξείρεται, ut 423. κἀξείρας τὸ κέντρον). Illud autem ὀξὺ glossema adscriptum videtur ad ὀξύθυμον. Non enim credibile est ὀξύθυμον et ὀξὺ in eadem sententia conjunxisse nostrum.

ἀλλὰ θαἰμάτια βαλόντες ὡς τάχιστα, παιδία,
θεῖτε καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
καὶ κελεύετ' αὐτὸν ἥκειν
ὡς ἐπ' ἄνδρα μισόδημον
ὄντα κἀπολούμενον, ὅτι
τόνδε λόγον ἐσφέρει,
μὴ δικάζειν δίκας.
ΒΔ. ὠγαθοί, τὸ πρᾶγμ' ἀκούσατ', ἀλλὰ μὴ κεκράγετε.

408. θαιμάτια C.R.V. θαἰμάτια B. θοἰμάτια S. θοιμάτια Ald. λαβόντες B. (supr. βαλ) C.R.S.V. schol. Ald. Fritzch. ad Thesm. 656. Richt. Dind. ("Chorus, inquit, qui jam in eo est ut saltet, pueros jubet Chori ipsius pallia e scena efferre," Fritzch. V. schol. Huc autem referendum scholion, quod versui 415 temere appingitur, ταῦτα, ἵνα ἀποδὺς ὀρχήσηται ὁ χορὸς καὶ ἀπέλθωσιν οἱ παῖδες.) βαλόντες supr. in B. Br. Hirsch. Bergk. Mein. Gr. Qu. θαἰμάτι' ἀποδύντες. Archipp. ap. Athen. XV. 678 E. ἀθῷος ἀποδὺς θοἰμάτιον ἀπέρχεται. Cf. ad Ach. 627. ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν. Thesm. 656. ξυζωσαμένας . . . τῶν θ' ἱματίων ἀποδύσας. Sed v. ad Nub. 1103. Si verum est λαβόντες, cf. Thesm. 568. λαβὲ θοἰμάτιον, Φιλίστη. Lys. 1093. εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ'. Sic certe legebat schol. Ἀποβάλλειν et ῥίπτειν τὸ ἱμάτιον dicebant antiqui, aliquando etiam βάλλειν eodem sensu. Cf. Hom. Il. β'. 183. βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε. Lysias III. 12. ὁ δὲ ῥίψας τὸ ἱμάτιον ᾤχετο φεύγων. III. 35. τὸ γὰρ μειράκιον . . . ῥίψαν θοἰμάτιον φεῦγον ᾤχετο. Xen. An. I. 5. 8. ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς . . . ἵεντο &c. Theophr. Char. 27. ῥίψας τὸ ἱμάτιον τὸν βοῦν αἱρεῖσθαι, ἵνα τραχηλίσῃ. Longus Past. IV. p. 170. ῥίψας θοἰμάτιον ἔθει κατὰ τοῦ παραδείσου. Verum mihi videtur βαλόντες. Paullo infra *pallia sua colligunt*, ut videtur, choreutae (v. 424. ξυσταλεὶς, coll. Eccl. 99. ξυστειλάμεναι θαἰμάτια). Unde suspicari licet βαλόντες hic verum esse, et de puerorum palliis agi. παιδία] τὰ παιδία R.S.V.

409. ἀγγέλλετε B.R. ἀγγέλετε C.S.V. Κλέωνι] ἐλέων (sic) S.

411-414. Versus turpiter interpolati et ex tribus quos scripserat poeta efficti, qui fortasse hi fuerunt, μισόπολιν οὗτος ὅτι | τόνδε λόγον ἐσφέρει, | μὴ δικάζειν δίκας. Et de postremis quidem duobus vix potest dubitari: sed μισόπολιν fortasse non scriptum ab Aristophane est. DIND. Ita hodie Dind. Locum ita refingit Hermannus de Metr. p. 109: οὗτος ὅτι τόνδε λόγον | εἰσφέρει, ὡς χρεὼν | μὴ δικάζειν δίκας. Idem (El. D. M. p. 109) sic: ὡς ἐπ' ἄνδρ' ὀλούμενον | μισόπολιν ὄνθ' ὅτι τε τόνδε λόγον εἰσφέρει | μὴ δικάζειν δίκας. Idem alibi sic, indicata in antistropha unius versus lacuna: ὡς ἐπ' ἄνδρ' ὀλούμενον, | μισόπολιν ὄνθ' ὅτι τε | τόνδε λόγον εἰσέφερε. Respondent versus tres cretici 468-470. μισόπολιν vulg. μισόδημον Herm. Hirsch., ut fiat dimeter trochaicus. Probabilis correctio. Cf. 474. ὦ μισόδημε.

412. Qu. ὄντ' ἀπό τ' ὀλούμενον, ὃς | εἰσφέρει τὸν νόμον, | μὴ . . . καὶ πολούμενον S.V. ὅτι] ὃς Richt. ὅστις Bergk.

413. λόγον] Qu. νόμον. Desidero praeterea articulum.

414. ὡς χρὴ additum post εἰσφέρει in B.C.R.S.V. om. Ald. Herm. Dind. &c. Interpolatum ὡς χρὴ etiam Dem. p. 504.

415. κεκράγετε B. vulg. Dind. Gr. κεκράγατε C.R.S.V. Bergk. Richt. Cobet.

ΧΟ. νὴ Δί' ἐς τὸν οὐρανόν γ'. ΒΔ. ὡς τόνδ' ἐγὼ οὐ μεθήσομαι.
ΧΟ. ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφανής;
ὦ πόλις καὶ Θεώρου θεοισεχθρία,
κεἴ τις ἄλλος προέστηκεν ἡμῶν κόλαξ.
ΞΑ. Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς, ὦ δέσποτα;
ΒΔ. οἷς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου.

V. L. p. 83. Mein. Male. Simili errore κεχήνατε pro κεχήνετε legebatur Ach. 133.

416. νὴ δία γ' S.V. ἐς B.S. εἰς C.R.V. Verba ὡς . . . μεθήσομαι, quae vulgo Choro continuantur, Bdelycleoni tribuunt Dobr. Bergk. Mein. Hamaker. Dind. Recte, opinor. Cf. 437. ΧΟ. εἰ δὲ μὴ τοῦτον μεθήσεις, &c. 434. τόνδ' ἐγὼ οὐ μεθήσομαι B.C.P.R.S. vulg. Richt. τόνδε γ' ἐγὼ . . . V. τοῦδ' ἐγὼ . . . Pors. ad Med. 734. Valck. ad Phoen. 522. Hirsch. Mein. Dind. Gr. τόνδε γ' . . . Flor. Chr. Cf. 434. καὶ λάβεσθε τουτουὶ καὶ μὴ μεθῆσθε μηδενί (sc. αὐτόν). 437. 448. et ad Pl. 75.

417. ΒΔ. praef. in B.C. et vulg. ΧΟ. aut ΦΙ. (sed tantum ταῦτα . . . ἐμφανής) Dobr. ΦΙ. Lenting. Choro continuant Bentl. Tyrwh. Dind. Cf. 463-470. 483. 487-507. δῆτ'] δή γ' S.V. ἐστὶ V. ἐστιν ἐμφανής] ἐστιν; ἐμφανής γε Herm. Mein.

418. Χο. praef. B. ἡμιχ. C.R. Choro continuant Bentl. Dind. &c. πόλις B. πόλι C.R.S.V. θεοσεχθρία C.V. Ald. Br. Bergk. θεὸς ἐχθρία R.S. θεοεχθρία B.Δ. θεοισεχθρία Bentl. Br. in Suppl. Dobr. Bekk. Dind. Hirsch. Herm. Cobet. (Mnem. l. l.) Mein. θεοῖς ἐχθρία Herm. ad Iph. T. 192. Θεώροιο θεοσεχθρία Richt. Θεώροιο θεοεχθρία conj. Richt. "θεοῖς ἐχθρία (sive mavis cum Brunckio θεοισεχθρία) scribendum esse dixi in editione a. 1825, collato Demosthenis loco in oratione contra Androtionem p. 611, 15, qui in libris vulgatis ita legitur, βούλομαι δεῖξαι τοῦτον . . . διὰ τὴν αὑτοῦ βδελυρίαν καὶ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν πεπονθότα μὲν μέχρι τῆσδε τῆς ἡμέρας οὐδὲν . . . ubi duo optimi codices ἐχθρίαν praebent omisso αἰσχροκέρδειαν, quod interpolatum est ex oratione Timocratea p. 761, ubi haec leguntur, οὐδεμίαν γὰρ ἂν εἰπεῖν ἔχοις ἄλλην πρόφασιν δι' ἣν τοιοῦτον ἐπήρθης εἰσενεγκεῖν νόμον ἢ τὴν σεαυτοῦ θεοῖς ἐχθρὰν αἰσχροκερδίαν, quibuscum comparandus tertius, qui ipse quoque simillimus illi est, locus in oratione contra Aristocratem p. 687, 21. θεοῖς ἐχθρῶν ῥητόρων πονηρίαν, οἳ τοσαύτην ὑπερβολὴν πεποίηνται τῆς αὑτῶν αἰσχροκερδίας. Sciens omitto quae de reliquis hujus vocabuli formis dici possent, θεοσεχθρία θεοεχθρία θεοεχθία. Θεοῖς ἐχθρίαν qui dixerunt, hoc sibi licere putarunt ut neglectis vocum componendarum legibus ab usitatissimo vulgi convicio θεοῖς ἐχθρὸς substantivum fingerent ἐχθρία huic formulae proprium neque usquam alibi inventum." DIND. V. Archippi locum corruptum apud schol. Scribendum, opinor, separatim θεοῖς ἐχθρία, ut νοῦν ἐχόντως (non νουνεχόντως) Plat. Legg. III. 686 E. εὖ καὶ ἐχόντως νοῦν . . . εἶπες Phil. 64 A. Confer etiam Ran. 544. κρέα . . . ἀν' ἡμιωβολιαῖα (non ἀνημ.). Sed alteri scripturae favet quodammodo compositum καλοκαγαθία, et νουνεχής.

419. ἡμῶν C. Br. Dind. Bergk. Richt. ὑμῶν B.R.S.V. vulg.

420. ἔχουσι V.

421. φίλιπιν R. τὸν Γοργίου] Qu. καὶ Γοργίαν. Cf. Av. 1700.

ΧΟ. καὶ σέ γ' αὐτοῖς ἐξολοῦμεν. ἀλλὰ πᾶς ἐπίστρεφε
δεῦρο κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἵεσο
ξυσταλεὶς, εὔτακτος, ὀργῆς καὶ μένους ἐμπλήμενος,
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν σμῆνος οἷον ὤργισε.
ΞΑ. τοῦτο μέντοι δεινὸν ἤδη νὴ Δί', εἰ μαχούμεθα·
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
ΧΟ. ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μὴ, φήμ' ἐγὼ
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.
ΦΙ. εἶά νυν, ὦ ξυνδικασταὶ, σφῆκες ὀξυκάρδιοι,
οἱ μὲν ἐς τὸν πρωκτὸν αὐτῶν ἐσπέτεσθ' ὠργισμένοι,
οἱ δὲ τὠφθαλμὼ 'ν κύκλῳ κεντεῖτε καὶ τοὺς δακτύλους.
ΒΔ. ὦ Μίδα καὶ Φρὺξ, βοηθεῖθ' ὧδε, καὶ Μασυντία,
καὶ λάβεσθε τουτουὶ καὶ μὴ μεθῆσθε μηδενί·

422. σέ γ' B.R.S.V. σ' C. αὖτις B.C.R. vulg. αὐτῆς S.V. αὖθις Bergk. Richt. αὐτίκ' Dind. αὐτοῖς Hirsch. Mein. Hold. Bergk. καί σε τοῖς αὐτοῖς ὀλοῦμεν conj. Richt. Saepe, fatendum est, in codicibus legitur αὖτις pro αὖθις. Cf. Nub. 557. αὖθις (αὖτις R.). Ach. 854. Lys. 1278. Soph. Phil. 127. αὖθις (αὖτις L.). 541. αὖθις (αὖτις L.). Oed. C. 1438. Oed. R. 234. El. 64. Hic tamen praestat, opinor, αὐτοῖς; quod et ipse conjeceram. Tentabam praeterea αὔτως 'pari modo,' vel αὖ τάχ'. Cf. ad Av. 287. ἀλλὰ πᾶς S.V. Dind. Hirsch. Richt. Mein. ἀλλ' ἅπας B.C.R. vulg. Cf. ad Ach. 282. 909. Th. 528. ἐπίστρεφε] Qu. ἐπιστρέφου.

423. κἀξείρας C.R.S.V. κἀξάρας B. Cf. ad Soph. Aj. 1066. ἵεσο B.R.S.V. Br. ἵεσυ C. Ald.

424. ἐμπλήμενος B corr. C corr. R. Dawes. Br. ἐμπλημένος S.V. ἐμπλησμένος B.C. Ald. ἐμπεπλησμένος P.Δ. ἔμπλησο est infra v. 603. Similiter κάθημαι, κάθησο.

425. τὸ λοιπὸν B.C.R.S.V. ὤργισεν B.S.V. vulg. ὤργισε C. ὤργησεν R.

426. μέντοι C.R.S.V. μέν γε B.

427. ἐγκεντρίδας] κεντρίδας R. 429. μακαρίζειν (om. σε) S.V.

430. εἶα bis C.R.V. εἴα bis S.Γ. νῦν C.R.S.V. νῦν γ' B. νυν γ' Ald. om. Γ. ξυνδικασταὶ codices. συνδικασταὶ Ald.

431. εἰς . . . εἰσπέτεσθ' libri et vulg. ἐς . . . ἐσπέτεσθ' Dind. Mein.

432. τωφθαλμων (sine accentu) R. κύκλῳ libri et vulg. 'ν κύκλῳ Elmsl. ad Ach. 343. Dind. Mein. Vitium frequens. Cf. ad 435. Favet haud dubie scriptura Ravennatis τωφθαλμων. κεντεῖθ' οἱ δὲ libri. κεντεῖτε καὶ Flor. Chr. Br. Dobr. Dind. Mein. &c. καὶ om. R.

433. βοηθεῖτε δεῦρο libri. βοηδρομεῖτε conj. Br. βοήθει δεῦρο Bentl. Pors. Bekk. Dind. Mein. &c. (Cf. 452.) Legendum suspicor βοηθεῖθ' ὧδε. Sequuntur pluralia λάβεσθε, μεθῆσθε, ἀριστήσετε. Confunduntur vero saepe δεῦρο et ὧδε in libris. Cf. tamen Eccl. 41. 42. μασυντία B.C.R. μασιντύα S.V. conj. Bergk. Fortasse recte, ut Σκεβλύας (Ran. 608), Μαρσύας, Μαντύας (Μαντύης). Si quid mutandum, Μασιστία malit Mein.

434. λάβεσθε B.C. Scal. βάλεσθε R.Γ. βάλλεσθε S.V. Cf. ad 408.

εἰ δὲ μή, 'ν πέδαις παχείαις οὐδὲν ἀριστήσετε·
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
XO. εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἕν τί σοι παγήσεται.
ΦΙ. ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη,
περιορᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;
XO. εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
δηλαδή· καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα
καὶ κυνᾶς, χὠς τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,

τουτουὶ B corr. R.S. τουτονὶ B pr. C.V.Δ. μεθῆσθε B.C.R.S.V.Δ. μεθεῖσθε Ald. Qu. μεθῆτε. Ita Eur. Med. 728. κοὔ σε μὴ μεθῶ τινι. Infra μεθήσεις est 437. Cf. Eur. Tro. 464. οὐκ ἀντιλήψεσθ'; ἢ μεθήσεσθ' (ἦ μεθήσετ' Musgr. alii), ὦ κακαί; Sed supra 416. τόνδ' ἐγὼ οὐ μεθήσομαι.

435. εἰ δὲ μὴ 'ν B. (supr. ε) R. Kust. &c. εἰ δὲ μὴν (sic) S.V. εἰ δὲ μὴ C.Δ. Ald. Cf. ad Eq. 367. 1049. Ach. 343. Ran. 618. ἐν κλίμακι δήσας. Herod. I. 66. αἱ δὲ πέδαι αὗται, ἐν τῇσι ἐδεδέατο, &c. I. 86. ἐν πέδῃσι δεδεμένον. III. 23. πάντας ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι. Aeschin. p. 254 R. δεδεμένον ἐν πέδαις. οὐδέν] Qu. ὄντες. Nisi joco inexspectato illatum est οὐδέν.

436. θρίων B.V. vulg. θριῶν R. Bekk. Reponendum suspicor πρίνων, et hic et in proverbio abs scholiasta allato. Ran. 859. σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.

437. Xo. om. B.C. μεθήσεις C.R.S.V. μεθήσης B. ἕν τι B.C.R.S.V. Ald. Br. ἔν τι Bergl. Dind. Mein. &c. κέντρα σοὐμπαγήσεται conj. Hirschig. Ann. Crit. p. 73.

438. τὰ πρὸς ποδῶν Δρακοντίδη vulg. τάχ' ἐκποδὼν Δρακοντίδης (coll. 157) conj. Richt.

440. οὓς B.R.S.V. ὡς C. κλάειν B.C.R.S.V. δίδαξα C. τέτταρα V. τετταγαρ' R. ἐς B.C.R.S.V.

441. ἡμιχ. praefixum in R. Interpunctionem post κακά addidit Florens Christianus. DIND.

442. δηλαδή] δῆλα δή Flor. Chr. δῆλα δ', εἰ Cobet. Mein. Dind. Fort. δῆλά γ', εἰ καὶ νῦν γε (vel νυνί γε) &c. Cf. 466. 503. ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέ', εἰ καὶ νῦν ἐγὼ &c. Δηλαδὴ legitur Eccl. 1157. γε τούτω] Quum sequantur pluralia χειροῦσιν, μεμνημένοι, αὐτοῖς, τούτοις, vide an legendum sit γὰρ οὗτοι. Nisi reponenda potius dualia μεμνημένω, αὐτοῖν et τούτοιν.

443. χειροῦσιν . . . μεμνημένοι] An χειροῦτον . . . μεμνημένω? Cf. ad 442.

444. ἃς] ὧν malit Hirschig. Ann. Crit. p. 71. Cf. ad Ach. 677. αὐτοῖς supr. in B. An αὐτοῖν? Cf. ad 442.

445. κυνᾶς, καί] κυνῶν, χαῖς (!) Hamaker. Ipse tentabam καὶ κυνῶν, χὠς τοὺς πόδας. Sed vulgata satis bene se habet; nam subito constructio mutatur, accusativo κυνᾶς per appositionem illato post verbum ἠμπόλα. Pro καὶ tentabam χὠς (ut hodie etiam Dind.), sed dicendum fuisset potius οὐδ' ὡς. Qu. κἀμβάδων, αἷς. ὄντος] οἵως Reisk. Qu. οἷον.

ὥστε μὴ ῥιγῶν ἑκάστοτ'. ἀλλὰ τούτοις γ' οὐκ ἔνι
τοῖσιν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
ΦΙ. οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον,
οὐδ' ἀναμνησθεὶς ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε
προσαγαγὼν πρὸς τὴν ἐλάαν ἐξέδειρ' εὖ κἀνδρικῶς,
ὥστε σε ζηλωτὸν εἶναι; σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄφες με καὶ σὺ καὶ σὺ πρὶν τὸν υἱὸν ἐκδραμεῖν.
ΧΟ. ἀλλὰ τούτω μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
οὐκέτ' ἐς μακρὰν, ἵν' εἰδῆθ' οἷός ἐστ' ἀνδρῶν τρόπος
ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.
ΒΔ. παῖε παῖ, ὦ Ξανθία, τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.
ΞΑ. ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
ΒΔ. σοῦσθε σοῦσθ'. οὐκ ἐς κόρακας; οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ.
ΞΑ. καὶ σὺ προσθεὶς Αἰσχίνην ἔκτυφε τὸν Σελλαρτίου.

446. ῥιγῶν γ' B.C.S.V. vulg. ριγόν τ' (sic) R. ῥιγῶν Dind. &c. τούτοις] An τούτοιν? Cf. ad 442.

447. οὐδ' ἐν vulg. οὐδὲν V. Dedi τοῖσιν. Postulatur enim articulus.

448. οὐκ ἀφήσεις] Qu. οὐ μεθήσεις. Cf. 437.

449. οὐδ'] οὔτ' R. οὐδ' ἀναμνησθεὶς] οὐδ' ἀναμνησθήσει Reisk. contra metrum. Fort. οὐδὲ μεμνήσει γ' . . . Vel οὐδὲ μεμνήσει σ' . . . κλέπτοντ' ἐγώ.

450. ἐλάαν C.R.S.V.Γ. ἐλαίαν B.(V.) Ald.

451. Post εἶναι interrogationis notam posui pro virgula.

452. ἄνες vulg. ἄφες Cobet. (Mnem. l. l.) Bergk. Mein. Dind. Idem ipse conjeceram. Cf. 428. 448.

453. τούτων μὲν vulg. Reponendum τούτω μὲν, i. e. duo servi. Quam scripturam noverat scholiasta, qui ἀντὶ τοῦ ὑπὲρ τούτων. ἢ δυϊκῶς χωρὶς τοῦ ν (i. e. τούτω) ἀντὶ τοῦ οὗτοι. Cf. Av. 336. ἀλλὰ πρὸς τοῦτον μὲν ἡμῖν ἐστιν ὕστερος λόγος, | τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην. δώσετον C.R.S.V. δώσετε B.

454. οἷός S.V. Suid. in ἵν' εἰδῇς. Junt. 1515. Bentl. Hirsch. Bergk. Richt. (Recte: cf. 425.) οἷόν B.C.R. vulg. Dind. Mein. οἷος pro οἷον exhibet R. in Ach. 321. ἐστ' B. ἔστ' C. ἐστὶν V. τρόπους V.

455. δικαίων] δικαστῶν conj. Bentl. Cf. 550. Qu. βιαίων.

456. ΒΔ. B.C. vulg. ΣΩ. Richt. παῖε παῖ'] παῦε παῖ R.

457-9. Hos tres versus Bdelycleoni tribuit Bergk. τύφε B.C.

458. ΣΩ. vulg. ΒΔ. Beer. Mein. Dind. Recte, opinor. οὐχὶ σοῦσθ' vulg. Malim σοῦσθε σοῦσθ', ut σοῦ σοῦ v. 209. Prius οὐκ add. R.S.V.Γ. Elmsl. ad Ach. 321. Herm. de Metr. p. 116. Dind. &c. om. B.C. vulg. (Exciderat, opinor, propter simile praecedens vocabulum σοῦσθ'.) οὐχὶ σοῦσθ' ἐς κόρακας ἄπιτε; παῖε παῖε τῷ ξύλῳ Burges. Praef. Troad. p. xvi. Legendum, ni fallor: οὐκ ἄπιτε; σοῦσθ'· ἐς κόρακας· οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ. Cf. 209. σοῦ σοῦ, πάλιν σοῦ. Saepe autem per se legitur ἐς κόρακας. Vereor ut bene Graece dici queat οὐχὶ σοῦσθε. Imperativus enim est σοῦσθε, ut σοῦ v. 209.

459. ἔντυφε vulg. ἔκτυφε conj. Mein. Fortasse recte. Cf. Menand. IV.

ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ;
ΒΔ. ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως ἂν αὐτοὺς διέφυγες, ἀντ.
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.
ΧΟ. ἆρα δῆτ' οὐκ αὐτόδηλα
τοῖς πένησιν ἡ τυραννὶς
ὡς λάθρα 'λάμβαν' ὑπιοῦσά μ',

122. 220. Qu. νῦν (vel εὖ) τῦφε. Cf. 457. σελαρτίου C.S.V. schol. vulg. σελαυτίου B. σελλαρτίου R.Γ. Bekk. Dind. Hirsch. Richt. Mein. Quoniam allusio inest ad v. σέλας, praeferendum mihi videtur Σελαρτίου. Alioqui jocus perit.

460. (ΞΑ.) cont. vulg. Dind. ΣΩ. Richt. ΞΑ. Bergk. Mein. Alteri (servo?) tribuit R. Affirmative haec accipiunt Br. Dind. Mein., interrogative Lenting. Both. Richt. Fortasse recte, quum nusquam, opinor, sensu affirmativo sententiam inchoet ἆρα. Ἆρα hic valet *nonne?* Cf. ad Lys. 387. Nisi forte transponendum sic, ἀποσοβήσειν ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς τῷ χρόνῳ. Cf. Nub. 1301. φεύγεις; ἔμελλόν σ' ἆρα (alii ἄρα σε) κινήσειν ἐγώ, &c.

461. ΒΔ. praef. (ni fallor) in B.C.R.V. Br. Dind. Mein. Bergk. ΧΟ. in Ald. Xanthiae continuat S. ΞΑ. Richt. ΣΩ. Bentl. Certe non servo convenire haec videntur: quid enim servis cum Philoclis carminibus? Vide autem an reponendum sit ἡμᾶς pro αὐτούς, et ἐτύχομεν pro ἔτυχον τῶν, ut Chori haec sint. Cf. 403. διέφυγες] Rarum est tribrachum in septimo pede. Philem. IV. 30. οὔτε γὰρ ναυαγός, ἂν μὴ γῆς λάβηται φερόμενος. Antiph. Athen. p. 654 F. ὄψεται 'κ τούτου πονηροὺς πέντε παῖδας γεγονότας. Menand. ibid. 248 B. ὡς ὀκνηρός, πάντα μέλλων, σιτόκουρος, ὁμολογῶν | παρατρέφεσθαι. Eur. Ph. 618. Ion. 1273. In proprio nomine Arist. Av. 281. ἀλλὰ χοὗτος ἕτερος; Β. ἀλλ' οὗτος μέν ἐστι Φιλοκλέους. Nub. 581. εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα. V. Pors. Praef. Hec. p. xlvii. Corrigi hic locus posset, si opus esset, in hunc modum, ἀλλὰ μὰ Δί' οὐκ ἂν διέφυγες ὧδ' ἂν αὐτοὺς ῥᾳδίως.

462. μελῶν B.C.R. (ni fallor) Br. μελεῶν S.V. μελέων Ald. Alterum τῶν om. Δ. Ald. supr. in B.

463. Ἡμιχ. praef. in B.C. Ald. ΧΟ. Br. &c. Similiter ἡμιχ. praefixum vv. 418. 441. 480. in R. ἆρα δῆτ'] ἄρα δῆτ' S. Qu. εἶτα δῆτ', ut in 441. αὐτὰ δῆλα libri et vulg. Bergk. Richt. αὐτόδηλα Dind. Herm. Hirsch. Mein. Idem ipse conjeceram. Dindorfius confert Aesch. Sept. 846. τάδ' αὐτόδηλα. Cf. Pac. 942. ὡς ταῦτα δῆλά γ' ἔσθ'. Qui et ipse locus emendatione eget.

465. ὡς λάθρα γ' ἐλάνθαν' ὑπιοῦσά με B.C.S.V. Ald. ὡς λάθρᾳ γ' ἐλάμβαν' . . . R. Inv. Bekk. Dind. olim Hirsch. Bergk. Richt. ὡς λάθρᾳ μ' ἐλάμβαν' ὑπιοῦσα Mein. ὡς λάθρα μ' ἐλάνθαν' ὑπιοῦσ' Br. Herm. de Metr. p. 111. ὡς λάθρᾳ μ' ἐλάμβανεν ὑπιοῦσα Madvig. ὡς λάθρα 'λάμβαν' ὑπιοῦσά με Dind. "ἐλάμβαν' R. Legebatur ἐλάνθαν'. Ceterum, quum parum apta sit γε particula, ὡς λάθρᾳ γ' ἐλάμβαν' ὑπιοῦσά με, sic potius scribendum videtur ὡς λάθρᾳ 'λάμβαν' ὑπιοῦσά με. Cum λάθρᾳ . . . ὑπιοῦσα comparandum quod Sophocles dixit Oed. T. 386. λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται." DIND. Qu. ὡς ἐλάνθανεν ὑπιοῦσα (vel -οῦσ'). Displicet pronomen με: mox

εἰ σύ γ', ὦ πόνῳ πονηρὲ καὶ κομηταμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις ὧν ἔθηκεν ἡ πόλις,
οὔτε τιν' ἔχων πρόφασιν
οὔτε λόγον εὐτράπελον,
αὐτὸς ἄρχων μόνος;
ΒΔ. *ἔσθ' ὅπως ἂν ἐκ μάχης καὶ τῆς κατοξείας βοῆς*
ἐς λόγους ἔλθοιμεν ἀλλήλοισι καὶ διαλλαγάς;
ΧΟ. *σοὺς λόγους, ὦ μισόδημε καὶ μοναρχίας ἐρῶν*
καὶ ξυνὼν Βρασίδᾳ καὶ φορῶν κράσπεδα
στεμμάτων τήν θ' ὑπήνην ἄκουρον τρέφων;
ΒΔ. *νὴ Δί' ἦ μοι κρεῖττον ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς*
μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι.

enim sequitur plurale *ἡμᾶς*. Neque *με* hic legisse videtur schol., qui explicat *ὑπεισερχομένη*. E glossemate forsan irrepsit *λάθρα*. Porro vix convenit *ἐλάμβανε*. Cf. ad v. stroph. 406. *λάθρᾳ* Bergk.

466. *ἡμιχ.* praef. B. non C. *πόνῳ πονηρὲ* R.S.V. Br. Dind. &c. *πονωπόνηρε* B.C. Ald.

468-70. Uno versu *οὔτε . . . μόνος* Dind. in Metris.

469. *εὐτραπέλου* S.

ΔΙ. μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.

vid.) μυρίας Dind. Quod non probandum. μυρία probat Thiersch., non enim cogitari certum numerum. Cf. ad Pl. 1184.

91. πλεῖν ἢ σταδίῳ A. (-ίω) R.V.Φ. &c. Aristid. II. 133. Suid. in πλεῖν. Eust. p. 1226, 13. πλεῖν ἢ σταδίου M. Borg. &c. πλεῖν σταδίου Etym. M. p. 262, 14. Cf. ad 18.

94. ἢν ἅπαξ μόνον λάβῃ | χορόν, προσουρήσαντα . . . , aut potius ἢν ἅπαξ χορὸν λάβῃ, | μόνον προσουρήσαντα . . . conj. Mein. hoc sensu, *nihil isti aliud quam immingunt tragoediae, non autem eam foecundant.* Apte legeretur, opinor, ἢν ἅπαξ χορὸν λάβῃ, | μόνον προσουρήσαντα &c.

96. εὕροις A.R.S.V.W.Y.Z. vulg. εὕρῃς M.Φ.

98. ὅστις δὲ φθ. M. 99. τι om. M.

102. ἰδίᾳ A.R.V. vulg. ἄνευ D.E.F.M.R. Bodl. 1. Cant. 1. Gl. in A. Suid. l. c. ἰδίᾳ ἢ ἄνευ.

103. σέ] σοὶ Bodl. 1. et (supr. σε) Mut. 1. Qu. σὺ δὲ τοῖσδ' ἀρέσκει, vel σοὶ δὲ τάδ' ἀρέσκει. ἀρέσκεται Mut. 1. μάλα R.S.T. Bodl. 1. lemma schol. καὶ μάλα A.M.V.W.Y.Z.Δ.Θ.Φ.Χ.Ω. Cant. 1. 2. Mut. 1. Ald. vulg. Th. καὶ μὰ Δία Elb. μ' ἀλλὰ Suid. in σὲ δὲ ταῦτα. μὴ 'λλὰ Pors. μἀλλὰ recte Dobr. Dind. &c. "Similiter interpolatus fuit v. 751. Photius p. 244, l. a Dobraeo emendatus, μἀλλά: ἀντὶ τοῦ οὐκ ἀλλά. Codex μαλαν (sine accentu): ἀντὶ τοῦ οὐ καλά." DIND. ("οὐκ ἀλλὰ pro οὐ καλὰ Mnesimacho et Cratino restituit Porson. Adv. p. 102. 284." DOBR.) πλὴν (supr. πλεῖν) Φ.

104. ἢ μὴν libri et vulg. καὶ μὴν Cobet. Recte, opinor. Cf. 104. ὡς καὶ σοὶ δοκεῖ] οὐ καὶ σοὶ δοκεῖ; Dobraeus (ut Vesp. 933). Dionyso haec tribuit Elmsleius ad Ach. 487. ὥς γε σοὶ δοκεῖ idem n. ms. Fallitur uterque, ut ostendunt ista μὴ τὸν ἐμὸν οἴκει νοῦν &c., quae plane ad Herculis verba ὡς καὶ σοὶ δοκεῖ spectant. Neque altera Dobraei correctione opus est, ἢ μὴν . . . ἔστ'· ἴσως καὶ σοὶ δοκεῖ.

105. ἔχεις γὰρ οἰκίαν citat Suidas, et ut variam lectionem addit ἐγὼ γὰρ ἀρκέσω.

ΗΡ. *καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.*
ΔΙ. *δειπνεῖν με δίδασκε.* ΞΑ. *περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;*
ΔΙ. *ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων*
ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἐχρῶ τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπάς, κρήνας, ὁδούς,
πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
κόρεις ὀλίγιστοι. ΞΑ. *περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;*
ΗΡ. *ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι;* ΔΙ. *καὶ σύ γε*
μηδὲν ἔτι πρὸς ταῦτ', ἀλλὰ φράζε τῶν ὁδῶν
ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν μήτ' ἄγαν ψυχρὰν φράσῃς.

106. *γε* om. M. &c. *ταῦτα φαίνεται* M.

107. *δειπνεῖν με δίδασκε*] Notanda caesura minus numerosa. Cf. ad Nub. 62. Pronomen delendum censet Elmsl. ad Ach. 127. Post *λόγος* interrogandi signum ponendum et hic et in v. 115. Ita etiam Fritzch. Vulgo deest.

108. *ἕνεκα* A.D.E.M.R.V.Φ. Borg. Urb. Mut. 1. &c. Bentl. Br. *οὕνεκα* Ald. et fortasse codices aliquot deteriores. *ἔχων* plerique omnes libri et Br. &c. *φέρων* Ald. et codd. aliquot (?). *φορῶν* saltem malit (ut in Pl. 988) Thiersch. 109. *κατὰ τὴν σὴν* Bodl. 1. Cant. 1. Borg.

111. *ἐχρῶ* A.R.V. &c. Ald. *ἔχρω* Br. &c.

112. *τούς τε λιμένας φράσον μοι* M.

113. *κρῆνας* A. *κρημνοὺς* v. l. ap. schol. *ὁδούς*] Qu. *πόρους*, vel *σκιάς*.

114. *πανδοκευτρίας*] *πανδοκεῖ' ἄρισθ'* conj. Herwerden. Tabernas enim potius quam mulieres cauponarias commemorari oportere. Ingeniosa conjectura.

116. "Versus totus Herculi tribuebatur. Correxit Seidlerus. Alloquitur autem Hercules Dionysum, non Xanthiam, *περὶ οὗ οὐδεὶς λόγος*, quae scholiastae fuit opinio prava personarum distinctione decepti." DIND. Vulgatam interpunctionem male retinet Fritzch. (qui reddit, *tu adeo cum tua ignavia, ut ego, ire audebis?* concinne enim haec referri ad v. 108-111), probat Hermannus. *ἰέναι κάτω* (*γρ. καὶ σύ γε*) V.

117. *φράζε τῶν ὁδῶν*] *φράζε νῷν ὁδὸν* ingeniose corrigit Fritzchius, coll. 275. *οὓς ἔλεγεν ἡμῖν.* 319. *οὓς ἔφραζε νῷν.* Av. 15. *ὃς τώδ' ἔφασκε νῷν φράσειν τὸν Τηρέα.* Idem Xanthiam, ut comitem et socium itineris, non inepte commemorari monet, coll. v. 49-50. *καὶ κατεδύσαμέν γε ναῦς . . .* ΗΡ. *σφώ;* Sed obstat, opinor, v. 120. *φέρε δή, τίν' αὐτῶν* (sc. *τῶν ὁδῶν*) *σοι φράσω πρώτην;* Non ita loqueretur, opinor, Hercules, nisi praecessisset *τῶν ὁδῶν*.

118. *ὅπως* A.R. &c. vulg. *ὅπῃ* (*γρ. ὅπως*) V. *ὅπῃ* Bergk. Ko. Mein. *ὅτῳ* non male Dind. *ἀφίξομ'* D. Cant. 1. 2. Borg. Ald. et vulg. *ἀφίξομ'* (*γρ. ἀφιξώμεθ'*) V. *ἀφίξομαι* D. Mut. 1. *ἀφιξόμεθ'* A.R.Φ. Harl. 3. Bodl. 1. Dind. recc. *ἀφιξώμεθ'* Harl. 1. Revocanda mihi videtur vulgata. In sequentibus enim Dionysi solius mentio fit; Xanthiae, ut servi, *οὐδεὶς λόγος*. *ᾅδου* A.

ΗΡ. φέρε δὴ τίν' αὐτῶν σοι φράσω πρώτην, τίνα;
μία μὲν γάρ ἐστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν. ΔΙ. παῦε, πνιγηρὰν λέγεις.
ΗΡ. ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυείας. ΔΙ. ἆρα κώνειον λέγεις;
ΗΡ. μάλιστά γε. ΔΙ. ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
ΗΡ. βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
ΔΙ. νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
ΗΡ. καθέρπυσόν νυν ἐς Κεραμεικόν. ΔΙ. εἶτα τί;
ΗΡ. ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν— ΔΙ. τί δρῶ;
ΗΡ. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ·
κἄπειτ', ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. ΔΙ. ποῖ; ΗΡ. κάτω.
ΔΙ. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. ΗΡ. τί δαί;

120. πρῶτον Cant. 1. ΔΙ. τίνα; A.

121. Ηρ. praef. A. ἡ μία Mut. 1. γὰρ om. Suid. in Θράνιον. Κάλως. Πνιγεύς. γάρ ἐστιν A. vulg. Fr. Dind. γὰρ ἔστιν Bergk. Mein. ὑπὸ κάλω conj. Burges. ad Aesch. Suppl. 327. Qu. ἐστι διὰ κάλω, ut in v. 124. ἡ διὰ θυείας.

122. ΞΑ. κρεμάσαντι σαυτὸν . . . ΔΙ. παῦε. malit Dobraeus. παῦε] πάνυ M. om. Mut. 1. Fort. πάνυ γε.

123. σύντομος A.M.R.V. &c. vulg. ξύντομος Br. &c.

124. θυίας R. hic et alibi. θυΐας Mein. κώνιον R.

127. ταχεῖαν καὶ κατάντη A.R.Φ. vulg. κατάντη καὶ ταχεῖαν V. Bergk.

128. γε om. Borg., qui Δία habet. Legendum suspicor νὴ τὸν Δί', ὡς ἀνήρ γε μὴ βαδιστικός. Vel νὴ τὸν Δί' ἔγωγ', ὡς ὤν γε μὴ βαδιστικός. Vel ὡς ὤν τίς γε (pro γέ τις propter metrum) μὴ βαδιστικός. Genitivus hoc loco quomodo defendi possit equidem non perspectum habeo. Qualis enim constructio est illa, νὴ τὸν Δί' (βούλομαι), ὡς ὄντος γε μὴ βαδιστικοῦ (μου)?

129. νῦν A.M. ἐς R.V. &c. εἰς A.M. κεραμικόν R. Elb. εἶτα M.R.S.T.Z.Φ.X. Bodl. 1. Borg. Dind. Th. Mein. εἶτα M. κᾆτα (aut κᾶτα) A.V.W.Y.Δ.Θ. Mut. 1. vulg. Fr. Bergk. Photius p. 143, 21. κᾆτα τί: εἶτα τί. Ut in re dubia servanda videtur vulgata.

133. ποῖ A.R.V.Φ. Cant. 2. et, ni fallor, reliqui. πῆ Bodl. 1. Cant. 1. εἶναι, τόθ' εἶναι . . .] Legendum suspicor ἀφιέναι, τότε καὶ σὺ σαυτόν. Cf. 131. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ. Eq. 1159. ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί. Herod. III. 75. ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. A verbo ἀφιέναι *cursores dimittere* venit nomen ἀφετηρία *carceres*, Anglice *a starting-place*. Simplex εἶναι, sive de lampade sive de cursoribus intelligas, parum convenit.

134. ἐγκεφάλων V. ἐγκέφαλον Elb. θρία A. δύο M.S.Δ. δύω A.R.T.V.Z.Φ.X. Mut. 1.

135. τί δαί A M.R.W.Y.Z.Φ.X. τί δέ V. τί δή Ω. Qu. τίν' οὖν; Aliter

ΔΙ. ἥνπερ σὺ τότε κατῆλθες. ΗΡ. ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον. ΔΙ. εἶτα πῶς περαιωθήσομαι;
ΗΡ. ἐν πλοιαρίῳ τυννουτῳί σ' ἀνὴρ γέρων
ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών.
ΔΙ. φεῦ. ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε; ΗΡ. Θησεὺς ἤγαγε.
μετὰ τοῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα. ΔΙ. μή μ' ἔκπληττε μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις. ΗΡ. εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα βινῶν τἀργύριον ὑφείλετο,

enim inepta videtur Dionysi responsum, ἥνπερ σὺ &c. Nisi quidem τί δαί; reddas non *quid igitur?* sed *cur igitur?* Quod tamen vix satisfacit. Sed cf. ad v. prox.

136. ἥνπερ A.M.R.S.V.W.Y.Z.Φ. &c. ἀλλ' ἥνπερ (soli, opinor) T. Bodl. 1. Scripserat, opinor, Comicus ἀλλ' ἣν ... Locum correxit grammaticus aliquis, ni fallor, qui non intelligeret continuari Dionysi sermonem, Herculis autem verba τί δαί; *cur vero?* διὰ μέσου esse accipienda, neque significare posse *quamnam vero?* Quod si significarent, inepte profecto sequeretur ἀλλ' ἣν ... Ita ejectum fuit ἀλλ', et ἣν in ἥνπερ mutatum. τότε] ποτε Perizon. Add. ad Aelian. V. H. I. 18. Nihil opus.

137. ἐπὶ] εἰς V. solus, opinor.

138. πῶς γε A.M.R.S.T.W.Y.Z.Δ.Θ.Φ.X. Borg. Mut. 1. Ald. &c. πῶς (om. γε) Brunckii unus. V. (s. Bekk.) Ω. Suid. in φεῦ. Bentl. Elmsl. ad Oed. C. 977. et Med. 288. 1334. Vulgatam frustra defendit Reisig. ad Soph. Oed. C. p. 323. "πῶς γε positum fortasse ab librario περεωθήσομαι pronuntiante. πῶς γε λέγεις pro πῶς λέγεις scriptum in R. v. 515." DIND.

139. τυνουτωὶ M. Bodl. 1. τυννυυτωὶ Ald. 141. τὼ om. Bodl. 1.

142. πῶς] πῶς δ' conj. Mein. Fortasse recte. Θησεύς σφ' Br. Male. ἥγαγε A. edd. vett.

143. ταῦτ' A.M.V.Φ. &c. vulg. Dind. Mein. τοῦτ' R. Fr. Ko. Cf. ad Vesp. 119. ὄφις D. 144. μὴ δὲ A.

145. ἀποτρ.] τῶν ἐκεῖσε add. M. πολὺν] παχὺν M. Non male. Fort. βαθύν.

146. σκῶρ' A. σκὼρ Ald. ἀείνων W.Y.Z. (ni fallor) Elmsl. in Edinb. Rev. 37. p. 73. Dind. &c. ἀεὶ νῶν A.M.R.S.T.Φ.X. Bodl. 1. Mut. 1. Suid. in ἀεὶ νῶν et σκῶρ. vulg. ἀείναον V. Phrynichus Bekk. Anecd. p. 22, 16. ἀείζων: πᾶν τὸ ἀεὶ ζῶν. τοιοῦτον καὶ τὸ ἀείνων, τὸ ἀένναον. Idem p. 347, 7. 'Αείνως γλῶττα, καὶ ἀείνως φωνὴ καὶ ὀργὴ καὶ ἐπιθυμία, καὶ ἐπὶ τῶν ὁμοίων χρῶ.

147. ἠδίκηκε V. solus, ut videtur.

148. κινῶν libri et vulg. Fr. Bergk. βινῶν Dind. Mein. Kock. τἀργύριον] ἀργύριον solus Bodl. 1. Male. Cf. 270. et ad Nub. 179.

ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον
ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
ΔΙ. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι κεἰ
τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
ΗΡ. ἐντεῦθεν αὐλῶν τίς σε περίεισιν πνοή,
ὄψει τε φῶς κάλλιστον ὥσπερ ἐνθαδί,
καὶ μυρρινῶνας, καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
ΔΙ. οὗτοι δὲ δὴ τίνες εἰσίν; ΗΡ. οἱ μεμυημένοι—
ΞΑ. νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγω μυστήρια.

149. ἠλοίησεν R.T.V.W.Z.Δ.Θ.Φ.Χ.Ω. Cant. 2. Ald. Bergk. ἠλλοίησεν A. ἠλλοίωσεν M.S. ἠλοίωσεν (supr. η) Bodl. 1. ἠλλοίασεν Y. ἠλοίασεν Cant. 1. ἠλόησεν bis Suidas in h. v. Toup. Br. Dind. Fr. Mein. "Ammonium, qui ἠλοίησεν legisse videatur p. 10, interpolatum ab librariis esse perite ostendit Valckenar. in Animadvers. p. 21." DIND. Cf. Dem. p. 1040. σῖτος . . . ἀπηλοημένος. Eubul. Athen. 622 E. κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος. Dicebant tamen πατραλοίας et μητραλοίας. Digna est quae legatur Fritzchii ad hunc locum annotatio de forma hujus verbi. Alio sensu legitur ἀλοᾶν Th. 2.

150. ὅρκον om. M. Elb. inter lineas habet Bodl. 1. a pr. m.

151. ἢ εἰ conj. Mein. τις ῥῆσιν] Fort. ῥῆσίν τιν', ut in Nub. 1371. ὁ δ' εὐθὺς ᾖσ' Εὐριπίδου ῥῆσίν τιν'. Vesp. 579. Idem suadet Cobetus. Sed nil temere mutandum ostendent loci sequentes, Thesm. 342. ἢ πεμπομένη τις . . . 345. ἢ δῶρά τις δίδωσι . . . Eur. Hec. 1169. εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς, | ἢ νῦν λέγει τις, ἢ πάλιν μέλλει λέγειν . . . τίς A.

152. τούτοισι κεἰ] τούτοις καὶ εἰ R. τούτοις εἰ Cant. 1. τούτοισι κεῖσθαι Borg. τούτοισι καὶ | εἰ πυρρίχην Fr. Ko. Hunc versum ignorabat Aristophanes Byz. Bergkius locum sic constituendum arbitratur: ΔΙ. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι καὶ | εἰ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο. [ἢ πυρρίχην τις ἔμαθε τὴν Κινησίου.] Satis probabiliter.

153. ἢ πυρρίχην Aristophanes Byz. Cf. ad 152. τίς A. κιννησίου A.

154. σε om. Bodl. 1. περίεισι A.

155. τε vulg. τὲ A. Fort. δέ. κάλλιστον ὥσπερ] κάλλιον ἤπερ (?) malit Mein. "Communis, inquit, erat opinio initiatos apud inferos multo splendidiore sole frui quam in superis. Virg. Aen. VI. 640. *largior* [*clarior?*] *hic campos aether et lumine vestit* | *purpureo solemque suum sua sidera norunt.*" ἐνθάδε libri et vulg. ἐνθαδὶ Mein. Recte.

157. πολὺν χειρῶν κρότον A. Mut. 1. ἀνδρῶν καὶ γυναικῶν Elb.

158. δὴ add. A.M.R.S.V.W.Δ.Θ.Χ.Ω. &c. om. T.Y.Z.Φ. Bodl. 1. τινές εἰσιν A.

159. ἔγωγ' οὖν A. ἄγων vulg. et sic schol. in lemm. Phot. p. 336, 22. et Suid. in Ὄνος ἄγων μυστήρια. ἄγω R. solus, ut videtur. ἄγει Hesych. Diogenian. VII. 98. Greg. Cypr. IV. 55. Verum videtur ἄγω. Nisi legendum

ἀτὰρ οὐκ ἔτ' ἄξω ταῦτα τὸν πλείω χρόνον.
ΗΡ. οἵ σοι φράσουσ' ἁπαξάπανθ' ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.
καὶ χαῖρε πόλλ', ὦδελφέ. ΔΙ. νὴ Δία καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
ΞΑ. πρὶν καὶ καταθέσθαι; ΔΙ. καὶ ταχέως μέντοι πάνυ.
ΞΑ. μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.
ΔΙ. ἐὰν δὲ μὴ εὕρω; ΞΑ. τότ' ἔμ' ἄγειν. ΔΙ. καλῶς λέγεις·
καὶ γάρ τιν' ἐκφέρουσιν οὑτοιὶ νεκρόν.

potius νὴ τὸν Δί' ἐγώ γ' εἴμ' ὄνος &c. Parum enim hic convenit γοῦν aut γ' οὖν.

160. αὐτὰρ Mut. 1. οὐ καθέξω ταῦτα] Mendosum hoc videtur. Legendum suspicor οὐκ ἔτ' ἄξω ταῦτα (v. γ' αὐτά). Vel οὐκ ἔτ' οἴσω . . .

161. δέῃ R.V. &c. δέη A.M. Cant. 1. 2. δέει Ald.

162. ἐγγύτατα] Qu. ἐγγυτάτω, ut Av. 1665. Soph. Ant. 933. οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω | τοὔπος ἀφῖκται. Ubi ἐγγύτατα metrum respuit. Sic ἀγχοτάτω Herod. VI. 102. Sed utrumque aeque usurpari videtur.

163-8. Personae desunt in A.

164. ὦ 'δελφὲ A. νὴ Δία] νὴ Δὶ Dind. Cf. ad Eq. 319. Vulgatam tuentur Fr. Ko. Bergk. Mein.

168. del. Hamaker. Mein. τοῦτ' libri. ταῦτ' conj. Bergk. Στύγ' vel πλοῦν conj. Kock. Qu. ἐπὶ ταῦτ' *ad haec loca*, vel ἐπὶ ταὔτ' *ad eadem loca* (ut conj. etiam Bergk.), vel ἐνθάδ' *huc*. Gl. Θ: ἐπὶ τὸν Ἅιδην, ὁ κοινῶς ἐξόδιον λέγεται. Sed frigida haec explicatio est.

169. ἐὰν] ἂν M. Elb. μὴ εὕρω M.Y.Z.Φ. Elb. Kock. Mein. μηῦρω R.S.T. μήὕρω A. μήὕρω Med. 4. μὴ 'ὕρω Ald. μήὕρω X. μηὕρω (aut μήὕρω) W.Δ.Θ.Φ.Ω. Fr. Bergk. Herm. μὴ 'χω (aut μὴ ἔχω v. l. ap. schol.) Dind. μὴ ἔχω Bo. μὴ 'ὕρω Br. "Recepi commemoratam ab scholiasta lectionem μὴ 'χω, cujus interpretatio esse videtur μὴ εὕρω. Nam saepe sic loquuntur scholiastae, velut ad Pl. 476. ἵνα μὴ εὕρωσιν ἀνακῦψαι. Apud Soph. Antig. 225. πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις, libri deteriores εὗρον." DIND. Cf. Lys. 361. φωνὴν ἂν οὐκ ἂν εἶχον (εὗρον al.). Menand. Fr. Inc. 178. ταῦθ' ὕστερον λάβοις (εὕροις tres codd.) ἂν ἡμαρτημένα. Non displiceret μὴ σχῶ. Cf. Soph. El. 1013. νοῦν ἔσχον. 1256. ἔσχον . . . ἐλεύθερον στόμα. Sed vera videtur librorum lectio μὴ εὕρω. De crasi μὴ εὕρω cf. ad Ach. 612. Nub. 1084. Similis crasis est ἐγὼ οὐκ supra 33. De vera ejus exprimendae ratione minus liquet. τότε μ' libri et vulg. Mein. τότ' ἔμ' fort. R. Ko. Bergk. Dind. Krüger. Gr. § 55. Recte, ut videtur: emphaticum enim est hic pronomen.

170. τινες φέρουσι A. (τίνες) M.R. Bodl. 1. Elb. &c. τινες ἐκφέρουσι D.V.Φ. Ald. Br. τιν' ἐκφέρουσι Elmsl. ad Ach. 127. Dind. Th. Fr. Hirsch. Ko. Bergk. Mein. ἐκφέρουσι τουτονὶ vulg. Dind. ἐκφέρουσιν οὑτοιὶ Hirsch. Mein. prob. Ko. "τινες semel scripto, ex οὑτοιὶ deinde fecerunt τουτονί."

οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάρι' εἰς Ἅιδου φέρειν;

ΝΕΚΡΟΣ.

πόσ' ἄττα; ΔΙ. ταυτί. ΝΕ. δύο δραχμὰς μισθὸν τελεῖς;
ΔΙ. μὰ Δί', ἀλλ' ἔλαττον. ΝΕ. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.
ΔΙ. ἀνάμεινον, ὦ δαιμόνι', ἐὰν ξυμβῶ τί σοι.
ΝΕ. εἰ μὴ καταθήσεις δύο δραχμάς, μὴ διαλέγου.
ΔΙ. λάβ' ἐννέ' ὀβολούς. ΝΕ. ἀναβιοίην νυν πάλιν.
ΞΑ. ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι. ΔΙ. χρηστὸς εἶ καὶ γεννάδας.
χωρῶμεν ἐπὶ τὸ πλοῖον.

ΧΑΡΩΝ.

ὠόπ, παραβαλοῦ.
ΞΑ. τουτὶ τί ἐστι; ΔΙ. τοῦτο; λίμνη νὴ Δία

(Hirsch.) Optima et verissima emendatio. τουτονὶ νεκρὸν A.M.R.T.V. W.Y.Z.Ω. τουτονὶ τὸν νεκρὸν D.S.Δ.Θ.Φ.X. Mut. 1.

171. σὲ λέγω μέντοι] Qu. σέ τοι λέγω, id quod conjecisse video Elmsl. ad Aj. 1228. (Mus. Crit. I. 484). Vel σέ τοι λέγομεν. (Cf. 174. ὑπάγεθ' ὑμεῖς &c.) Cf. ad Pl. 1099. σέ τοι λέγω, | ὁ Καρίων, ἀνάμεινον. Av. 406. ἰὼ Ἔποψ, σέ τοι καλῶ. 274. Aesch. Cho. 449. σέ τοι λέγω . . . Soph. Aj. 1228. σέ τοι, σὲ τὸν τῆς αἰχμαλωτίδος λέγω. Eur. Iph. A. 855. ὦ σέ τοι λέγω τὸν . . . Plura dedi ad Pl. 1099.

172. ᾅδου A.

173. πόσ' ἄττα V. Mut. 1. Cant. 2. πόσ' ἄττα A. Ald. πύσσ' ἄττα Cant. 1. πῶς ἄττα R. ποῖ' ἄττα Bodl. 1 corr. Bentl.

175. ἐὰν A.M.R.S.W.Y.Δ.Θ.X.Ω. Dind. Fr. Ko. Bergk. Mein. ἵνα D.Z.Φ. Urb. v. l. ap. schol. Etym. M. p. 734, 30. Reisig. Conj. p. 76. Th. ἵν' ἂν V. Bodl. 1. Cant. 1 corr. Vera lectio alicui videatur ἵνα ξυμβῶ (unde ἵνα συμβῶ, ἵν' ἂν συμβῶ, ἐὰν συμβῶ). Sed optime se habet vulgata. Vide comm. et cf. praecipue Thuc. 2, 5. λύγων πρῶτον γενομένων, ἤν τι ξυμβαίνωμεν. Schol: ἐὰν ξυμβῶ τί σοι: ἐὰν ξυμβῶ σοι ἀντὶ τοῦ ἵνα ξυμφωνήσω σοί τι. Unde patet glossema esse ἵνα. Etiam in Archilochi loco Stob. Fl. CX. 10. μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω, | μηδ' ἵνα (ἵν' ἂν Thiersch. Herm. Bergk.) δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν, reposuerim ἐὰν pro ἵνα.

177. ἀναβιῴην vulg. Fr. Mein. ἀναβιοίην Cobet. Dind. ad Trach. 902. νυν] νῦν Bergk. Cf. Lys. 531. μή νυν ζῴην. Nub. 1255.

178. διο. οὐκ . . . A. Cant. 1.

179. ξαν. ἐγὼ . . . A. Cant. 1. ἐγὼ βαδιοῦμαι] Qu. ἐγὼ τάδ' οἴσω, vel ὡς βαστάσω 'γώ. Vide schol.

180. delent Hamaker. Mein. ὢ ὂπ A. ὢ ὂπ Bergk.

181. ΔΙ. τουτὶ . . .; ΞΑ. τοῦτο . . . οὑτοσὶ ed. vett. ΞΑ. τουτὶ . . . ΔΙ. τοῦτο λίμνη . . . ΞΑ. αὕτη . . . ΔΙ. νὴ . . . A.D. Bodl. 1. ΞΑ. τουτὶ . . .; ΔΙ.

αὕτη 'στὶν ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ.
ΞΑ. νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί.
ΔΙ. χαῖρ', ὦ Χάρων. ΞΑ. χαῖρ', ὦ Χάρων. ΝΕ. χαῖρ', ὦ Χάρων.
ΧΑ. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
τίς ἐς τὸ Λήθης πεδίον ἢ 'ς Ὄνου πόκας
ἢ 'ς Κερβερίους ἢ 'ς κόρακας ἢ 'πὶ Ταίναρον;
ΔΙ. ἐγώ. ΧΑ. ταχέως ἔμβαινε. ΔΙ. ποῖ σχήσειν δοκεῖς;

τοῦτο . . . ὦ Χάρων C. E. Thiersch. Ita Bergkius distribuere haec velit: Δι. τουτὶ τί ἐστι; Ξα. τοῦτο; λίμνη. Δι. νὴ Δία | αὕτη 'στὶν, ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ. Schol: τοῦτο λίμνη νὴ Δία: τοῦτο οἱ μὲν τὸν Διόνυσόν φασι λέγειν, οἱ δὲ τὸν Ξανθίαν. ἐστι A. τοῦτο λίμνη libri et vulg. τοῦτο; λίμνη Dobr. Fr. Ko. Bergk. Mein. Dind. Recte. Cf. 55. 63. Vulgata τοῦτο . . . αὕτη ferri nequaquam potest.

182. ΞΑ. praef. A.D.T.Y.Z. Bodl. 1. ΔΙ. αὕτη . . . ΞΑ. καὶ . . . ὁρῶ Cant. 1. Ut vulgo R.V.Φ.Ω. Cant. 2. αὐτὴ Mut. 1. 'στιν A.

183. ΔΙ. praef. in M.T. Bodl. 1. Cant. 1. Nulla persona in A.R.V. ΞΑ. Br. Dind. Fr. &c. κἄστι γ' A.R.V.Φ. &c. vulg. Cf. Thesm. 86. νὴ τὸν Ποσειδῶ, καὶ δίκαιά γ' ἂν πάθοις. κἄστιν F. Bodl. 1.

184. ΔΙ. vulg. ΔΙ. om. A.R.V. Cant. 1. delet Bentl. cum Schol. Scribendum conjicit Scholiasta, ΔΙ. χαῖρ', ὦ Χάρων. ΞΑ. χαῖρ', ὦ Χάρων. ΝΕ. χαῖρ', ὦ Χάρων. Quam rationem jure, opinor, probant Bentl. Herm. Vide comm.

186. εἰς libri et Eust. p. 1788, 20. ἐς Dind. &c. ἢ εἰς T.Z.Δ.Θ.Φ.Ω. Bodl. 1. Pors. Th. prob. Dind. ἢ 's A.M.R.S.V.W.Y.X. Med. 4. vulg. Fr. Ko. Bergk. Mein. τίς εἰς Suidas in vv. 'Ανάπαυλαν, Τίς εἰς ἀναπαύλας, et Χάρων. Praestat, opinor, scribi plene ἢ εἰς. Eadem crasis in μὴ εἰδέναι (Soph. Oed. C. 1157. Ant. 33. 263. 531. Tr. 320. Eur. Or. 478. Hel. 923. Ion. 313), χρὴ εἰδέναι (Rhes. 683), ἢ εἰδότος (Iph. T. 1048), μὴ εἰσίδῃ (Eur. El. 961), &c. Cf. ad Ach. 242. Apud comicos εἰς ante vocalem, nisi in melicis et anapaesticis; ἐς ante consonantem scribi jubent. V. Enger. ad Lys. 2. ὄνου πόκας libri et vulg. ter Suidas. Dind. Bergk. Ὄνου Πόκας Fr. Ko. ὄκνου πλοκὰς Mein. Ὄκνου πλοκὰς conj. Bergk. Mein. (quem adi Fr. Com. II. 204.) αἱ τοῦ ὄνου πόκες habet Schol. αἱ τοῦ ὄνου πόκαι Suidas in ἀνάπαυλαν. Photius p. 338, 8. ὄνου πόκαι: ἐπὶ τῶν ἀνηνύτων καὶ τῶν μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν 'Αττικῶν. Verum videtur Ὄκνου πλοκάς. Vide add. et comm.

187. ἢ εἰς bis Thiersch. κερβέρους Bodl. 1. Ταίναρον] Importune Taenarus hic commemoratur, qui ne est quidem in inferis, &c. Vix dubitandum videtur quin Τάρταρον a poeta scriptum sit. MEIN. Qui Τάρταρον edidit. Non inepte enim postremum commemorari Tartarum, qui κατωτάτω τοῦ Ἅιδου esse fingatur. Conjectura speciosa magis quam vera. Vide comm.

188. ποῖ D.T.Z.Φ. Cant. 1. Harl. 3. Bodl. 1. Urb. Borg. Dind. Th. Mein. ποῦ M.R.S.V.W.Y.Δ.Θ.X.Ω. Cant. 2. Suid. in ποῦ σχήσειν. vulg. Fr. Ko. Bergk. δοκῇς A.

ἐς κόρακας ὄντως; ΧΑ. ναὶ μὰ Δία σοῦ γ' εἵνεκα.
ἔμβαινε δή. ΔΙ. παῖ, δεῦρο. ΧΑ. δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
ΞΑ. μὰ τὸν Δί' οὐ γὰρ ἀλλ' ἔτυχον ὀφθαλμιῶν.
ΧΑ. οὔκουν περιθρέξεις δῆτα τὴν λίμνην κύκλῳ;
ΞΑ. ποῦ δῆτ' ἀναμενῶ; ΧΑ. παρὰ τὸν Αὑαίνου λίθον,

189. ΧΑ. ἐς κόρακας. ΔΙ. ὄντως; ΧΑ. ναὶ ... V. Thiersch. ἐς κόρακας] Malim ἤ 'ς κόρακας. Δία] δί R. εἵνεκα A.B.R.Z.Φ. Suid. in σοῦ γ' εἵνεκα. Ald. Fr. Ko. Bergk. ἕνεκα T.V.Δ. Bodl. 1. Mut. 1. οὕνεκα C.D.E. M.Δ corr. Ω. Cant. 1. 2. Elb. Br. Th. Dind. Mein. εἵνεκα revocavit ubique Holden, qui οὕνεκα nonnisi conjunctionem esse, neque praepositionis vim usquam induere contendit, laudatis Ammonio περὶ διαφ. λέξ. p. 106. et Donaldson New Cratylus p. 358. Idem ipse sentio.

190. ἔσβαινε δή Dionyso tribuit R. ἔμβαινε Φ. Mut. 1. vulg. Fr. Ko. Bergk. Mein. ἔσβαινε A.M.R.Ω. Cant. 1 pr. Cant. 2. Med. 4. Dind. εἴσβαινε V. ἔμβαινε libri omnes v. 188. Usitatius esse ἐμβαίνειν ἐς ναῦν quam εἰσβαίνειν monuit H. Stephanus in Thes. p. 2540 L. Cf. Herod. 2, 29. ἐς πλοῖον ἐμβάς (al. ἐσβάς). Thuc. I. 18. ἐς τὰς ναῦς ἐμβάντες (al. ἐσβάντες). I. 52. ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας (al. ἐσβ.). I. 73. et 74. ἐσβάντες ἐς τὰς ναῦς. II. 67. πρὶν ἐσβαίνειν. IV. 100. ἐς τὰς ναῦς ἐμβάντες. Eur. Hel. 1381. εἰσβῶμεν σκάφος. Xen. An. V. 7. 15. ἐμβὰς δὲ εἰς πλοῖον. VII. 3. 3. εἰς πλοῖα ... ἐμβαίνειν. Lysias II. 30. εἰς τὰς ναῦς εἰσβάντες (ἐμβάντες F.). 32. εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται &c. 40. εἰς τὰς ναῦς δ' ἐμβάντες (al. ἐσβ.). Hyperid. in Dem. p. 61. ἐμβαίνειν εἰς τὸ πλοῖον. Plut. Lys. 10. ἐμβαίνειν εἰς τὰς τριήρεις. Eq. 545. ἐσπηδήσας. 599. εἰσεπήδων.

191. κρεῶν C.M.R.V.Θ.X.Ω. Cant. 2. Med. 4. Mut. 1. Urb. corr. Phot. p. 177, 3. Suid. in κρέας. Plutarch. Cent. II. 7. (memorata altera scriptura) vulg. νεκρῶν A.D.S.T.W.Y.Z.Δ.Φ. Bodl. 1. Cant. 1. Harl. 1. 3. Urb. (s. κρεῶν) Borg. v. l. ap. schol. prob. Pors. ἄκρων conj. Bentl. (qui tamen: "Sane τὸ νεκρῶν optime personae Charontis aptatur.") Ad lectionem νεκρῶν respicit Apollonius ap. schol. ad 420.

192. μὰ τὸν Δί', οὐ γὰρ ... vulg. Scrib. μὰ τὸν Δί' οὐ γὰρ ... Cf. Pl. 106. μὰ τὸν Δί' οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ. τὸν om. M. Bodl. 1.

193. οὐκοῦν libri et vulg. οὔκουν Dind. &c. περιθρέξει A.R.V.Φ. vulg. περιθρέξῃ D.M.T. Elb. περιδιαθρέξει S. Dedi περιθρέξεις. Futurum enim est θρέξω, non θρέξομαι. Aoristus περιθρέξαι legitur Th. 657. Nisi praestat alia futuri forma περιδραμεῖ. Cf. Vesp. 138. περιδραμεῖται. τὴν om. T. κύκλῳ D.R.S.T.V.Z. Urb. Borg. Bodl. 1. Cant. 1. Harl. 3. Dind. Fr. Ko. Bergk. Mein. τρέχων A.M.W.Y.Φ.X.Ω. Elb. Mut. 1. Cant. 2. schol. Ald. Br. Bo. Th. Schol: ἀντὶ δὲ τοῦ τρέχων γράφεται καὶ κύκλῳ. Si revera Comicus κύκλῳ scripserat, mirum est unde venerit lectio τρέχων, quae vera esse potest, si περιθρέξει mendosa est.

194. ποῦ A.M.R.S.W.Y.Z.Φ.X.Ω. vulg. ποῖ V. solus, ut videtur. Vera fortasse lectio, nam motum indicari patet. Ita praegnans locutio erit, cujus sensus plenus hic erit, *Proceeding how far shall I stop?* Cf. Lys. 526. ποῖ γὰρ

ἐπὶ ταῖς ἀναπαύλαις. μανθάνεις; ΞΑ. πάνυ μανθάνω.
οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
ΧΑ. κάθιζ' ἐπὶ κώπην. εἴ τις ἔτι πλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς; ΔΙ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευές με σύ;
ΧΑ. οὔκουν καθεδεῖ δῆτ' ἐνθαδί, γάστρων; ΔΙ. ἰδού.
ΧΑ. οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς; ΔΙ. ἰδού.
ΧΑ. οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς

καὶ χρῆν ἀναμεῖναι; Sic ποῖ τελευτᾷ . . . λόγος Aeschyl. Cho. 521. ποῖ καταλήξει . . . μένος ἄτης ibid. 1071. ποῖ κεκύρωται τέλος Suppl. 598. Cf. ad Eccl. 672. περὶ τοῦ γὰρ τοῦτο ποιήσει (-σῃ?); ἀναμενῶ libri et vulg. ἀναμένω etiam dici potuisse, modo subjunctivo, monuit Dind. Idem ipse conjeceram. παρὰ A.M.R.S.V.W.Z.Δ.Θ.X.Ω. περὶ T. (ni fallor) Φ. Bodl. 1. τὸν om. M. παρά τιν' αὑαίνου λίθον Wakef. ad Soph. Phil. 954. Ipse tentabam παρὰ τίν' αὑανθῶ λίθον; (Xanthiae continuatum.) Scribendum saltem Αὑαίνου, non Αὑαίνου, ut ostendit compositum ἀφαυαίνω (1089).

195. ταῖσιν pro ταῖς Mut. 1. ΔΙ. μανθάνεις; C.D.E.M.S.T.V.W.Y.Z.Ω. Elb. Cant. 1. 2. Bodl. 1. Mut. 1. Br. Dobr. Dind. Th. Fr. Ko. Bergk. Mein. Nulla persona in A. (sed vacuum relictum spatium) R.Φ.X. Ald. Kust. "Bacchi intererat, non vero Charontis, Xanthiam percontari an recte intellexisset ubinam subsistere deberet herum opperiturus." BR. Contra Dionysi personam delet Reisk. Recte, opinor. Cf. Av. 1003. ἐνθεὶς διαβήτην . . . μανθάνεις; ΠΕ. οὐ μανθάνω. Vesp. 385. Pherecrat. Athen. 653 A. οὐκ ἰσχάδας οἴσεις τῶν μελαινῶν; μανθάνεις; Crates Poll. IX. 62. ἡμιέκτόν ἐστι χρυσοῦ (μανθάνεις;) ὀκτὼ ὀβολοί. Alex. Athen. 354 D. τἀγαθὸν Πλάτων | ἁπανταχοῦ φησ' ἀγαθὸν εἶναι. μανθάνεις; eund. Athen. 383 E. καὶ παρατίθει γ' αὐτά, παῖ, | ὅταν παρατιθῇς (μανθάνεις;) ἐψυγμένα. Anaxipp. Athen. 486 F. Hanc formulam (μανθάνεις;) illustrarunt Gaisf. ad Markl. Suppl. 901. et Kidd. ad Dawes. 446. μανθάνω om. Bar. Qu. igitur, ΧΑ. ἐπὶ ταῖσιν ἀναπαύλαισι. ΔΙ. μανθάνεις; ΞΑ. πάνυ. DOBR. Sed cf. 65. πάνυ γὰρ μανθάνω. Av. 1458. Av. 1003. . . . μανθάνεις; ΠΕ. οὐ μανθάνω.

196. ξυνέτυχον R.V. &c. συνέτυχον A.

197. ἐπιπλεῖ R.V.Φ. Ald. Br. ἐπιπλεῖν A. Bodl. 1. Cant. 1. ἔτι πλεῖ Kust. Reisk. Dind. recc. Simile mendum est in Pl. 1116. ἔτι θύει (ἐπιθύει plerique libri).

198. τι pro ὅ τι A. Mut. 1. ποεῖς . . . ποῶ R. ποῶ Bodl. 1.

199. οἷπερ A.M.T.W.Y.Z.Θ.X.Ω. Joann. Alex. τον. παρ. p. 32, 13. Dind. Th. οὗπερ R.V. Borg. Fr. Ko. Bergk. Mein. ᾗπερ S.Δ. (in ras.) Φ. Post accusativum motionis ἐπὶ κώπην postulatur certe οἷπερ. Post ἐκέλευες enim subaudiendum καθίζειν. ἐκέλευες R. Fr. Ko. Bergk. Mein. ἐκέλευσας A.V.Φ. &c. Joann. Alex. vulg. Dind. σύ] σύ γε Bodl. 1.

200. ἐνταυθὶ M.

201. om. R. In margine ab al. m. habet Borg.

202. φλυαρήσεις M.R.S.V.Z.Φ. Elb. Br. recc. φλυαρήσῃς (aut -ῃς) A.D.T. W.Y.Z.X.Ω. Mut. 1. Ald. Frequens corruptela.

ἐλᾷς προθύμως; ΔΙ. κᾆτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττευτος, ἀσαλαμίνιος
ὤν, εἶτ' ἐλαύνειν; ΧΑ. ῥᾷστ'· ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. ΔΙ. τίνων;
ΧΑ. βατράχων κύκνων θαυμαστά. ΔΙ. κατακέλευε δή.
ΧΑ. ὠοπὸπ ὠοπόπ.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ,
βρεκεκεκὲξ κοὰξ κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν

204. ἀθαλάττωτος vulg. ἀθαλάττευτος bene conjicit Kock, coll. Poll. I. 121. αἱ μὲν νῆες ἀθαλάττευτοι, αἱ δὲ ἐντεθαλαττευκυῖαι. Quod recepi. Cf. ad Th. 878.

205. ἀκούσῃ D.M. Elb.

206. τίνων] τινῶν R., qui Charonti hoc continuat. Cf. ad Ach. 824. Eq. 1196.

207. βατράχων κύκνων] βατραχοκύκνων Both. Mein. Sic τραγέλαφος Ran. 937. κυναλώπηξ Eq. 1067. κυκνοκάνθαρος Nicostrat. Athen. 474 B. ἱπποκένταυρος, στρουθιοκάμηλος, καμηλοπάρδαλις, ἱππαλεκτρυών, &c. Sed vide comm. θαυμαστά. ΔΙ. κατακέλευε δή] Qu. θαυμαστά τινε (vel μάλα, πάνυ). ΔΙ. κέλευε δή. Proprium enim verbum in hac re est κελεύειν, non κατακελεύειν. Obstat tamen Av. 1273. ὦ . . . κατακέλευσον. κᾆτα κέλευε A. Bodl. 1. κἆτα κέλευε R. Med. 1. 4.

208. ὦ ὀπόπ ter V. (qui κοὰξ ter v. 214.) ὦ ὅποπ bis D. ὦ ὅποπ bis Med. 4. ὦ ὅπ. ὅπ ὦ ὅπ A. ὠὸπ ὅπ bis M.Y.Z.Φ. vulg. ὠὸπ ὸπ bis T. ὠὸπ bis S. et hodie Dind. ωόποπ Mut. 1. ὦ ὀπόπ bis Bergk. Mein. Versus deest in R. Scribendum potius conjunctim ὠοπὸπ ὠοπόπ. Simplex ὠὸπ (cujus productior forma est ὠοπὸπ) legitur 180. et Av. 1395, ubi schol: κέλευσμά ἐστι τὸ ὠὸπ τῶν ἐρεσσόντων καταπαῦον τὴν κωπηλασίαν. Cf. οἰμοιμοῖ, &c.

209. ΧΟ. praef. in libris et vulg. ΒΑΤΡ. Dind. Th. Ko. Bergk. Mein. ΧΟ. ΒΑ. Fr. "Ranarum chorus ex iisdem personis est compositus, qui postmodum chorum mystarum repraesentant. Recte scholiasta, ταῦτα καλεῖται παραχορηγήματα, ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι οὐδὲ ὁ χορὸς, ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ ἀληθῶς χορὸς ἐκ τῶν εὐσεβῶν νεκρῶν συνέστηκεν. Et ad v. 319. ubi chorus initiatorum prodit, μετεβλήθη ὁ χορὸς εἰς μύστας. Cf. ad Thesm. 104." DIND. βρεκεκεκὲξ D.M.R.V.Y. Z.Δ.Φ.Ω. βρεκεκὲξ A.S.T. Elb. Bodl. 1. Cant. 1. (sed βρεκεκεκὲξ v. prox.) Suid. h. v. et in Αἰόλαν. et Joannes Alex. τονικ. παραγγ. p. 38, 7. (ubi de adverbiis in ξ exeuntibus agit). Fab. Aesop. 307. p. 125. ed. Fur. βρεκεκκεκὲξ Bentl. κόαξ Bodl. 1. Cf. τοροτὶξ Av. 267. τιοτὶξ 741. &c.

210. om. A.V. Recte, ut videtur. Cf. 220. 225. 239. 250. 256. 261. 268.

212. ὕμνον V.

φθεγξώμεθ, εὔγηρυν ἐμὰν ἀοιδάν,
κοὰξ κοάξ,
ἂν ἀμφὶ Νυσήιον
Διὸς Διώνυσον ἐν
Λίμναισιν ἀχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος
τοῖς ἱεροῖσι Χύτροισι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι
τὸν ὄρρον, ὦ κοὰξ κοάξ·
ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
ΒΑ. βρεκεκεκὲξ κοὰξ κοάξ.

213. *φθεγξώμεθ'* A.R. &c. *φθεγξόμεθ'* V. Cant. 1. *φθεγγώμεθ'* M. Elb. *φθεγγώμεσθ'* Bodl. 1. 214. *κοὰξ* ter V. bis reliqui. Cf. ad 208.

215. *ἣν* vulg. Dedi *ἄν*. *νυσκίον* M. *Νύσιον* tuetur Reisig. C. p. 194. ex schol.

216. *Διόνυσον* libri et vulg. Reisig. Conj. p. 194. Th. Bergk. *Διώνυσον* Herm. Dind. Fr. Ko. Mein. Forma Ionica et epica. Theogn. 976. *οὔτε Διωνύσου* (*Διονύσου* plur. codd.) &c. Archiloch. Fr. 72. Theocr. II. 120. *Διωνύσοιο*. *λίμναισιν* libri et vulg. Herm. Reisig. Dind. Th. Fr. Ko. Mein. *λίμναις* lemma schol. Bergk. et jam vir doctus in *Quart. Rev.* IX. 360. *ἰαχήσαμεν* A.M.R.V.Δ.Θ.Φ.Χ. &c. vulg. Herm. Reisig. Th. Fr. Ko. Bergk. Mein. *ἠχήσαμεν* Z. unus, ut videtur. *ἀχήσαμεν* Dind. Recte, opinor. Cf. ad Thesm. 327. et v. comm. Plures formae hujus verbi videantur fuisse, *ἀχεῖν* (*ἠχεῖν*), *ἰᾱχεῖν* (vel *ἰακχεῖν*), *ἰᾰχεῖν*. *'Αχεῖν* (ᾱ) pro *ἰαχεῖν* (ἴᾰ), et *ἀχὰ ἄχημα* pro *ἰαχὰ ἰάχημα* plurimis in locis reponendum suspicatur Elmsl. ad Eur. Her. 752. "Video enim, inquit, in plerisque versibus, ubi *ἰαχεῖν*, *ἰαχὰ*, *ἰάχημα* primam et secundam corripere videantur, metro convenientiora esse *ἀχεῖν*, *ἀχὰ*, *ἄχημα* prima longa." V. etiam Elmsl. ad Oed. R. 1222.

217. *κραιπαλαίκωμος* R.

218. *τοῖς ἱεροῖσι χύτροισι* M.R.V.W.Y.Z.Φ. Borg. *τοῖς ἱεροῖσι χύτροισιν* Cant. 2. Ald. *τοῖς ἱεροῖς χύτροισι* X. *ταῖς ἱερῆσι* (pr. *οῖ*?) *χύτρησι* A. *τῆς ἱερῆσι χύτραις* Cant. 1. *τῆς ἱερῆς χύτρησι* Bodl. 1. *τῆς ἱερῆς χύτρῃσι* T. *χύτροισι* Dind. Th. Mein. *Χύτροισι* Ko. Bergk. *Χύτροισιν* Reisig. C. p. 194. Fr. *Χύτρῃσι* Br.

221. *βρεκεκεκὲξ* R.V.Δ.Φ. Cant. 2. *βρεκεκὲξ* A.T.Θ.Χ. Cant. 1. Versum om. Bodl. 1. (an 223?)

222. *δέ γ'* A.R. &c. *δέ τ'* D.M. Cant. 2. *δ'* V. *τ'* Mut. 1.

223. Χο. *βρεκέκεξ κοὰξ κοὰξ* A. Χο. *βρεκεκεκὲξ κοὰξ κοὰξ* R.Φ. &c. Ald. Br. Reisig. Th. Versum om. V. Bodl. 1. Cant. 1. Herm. Dind. Fr. Ko. Bergk. Mein. 224. *μέλλει* M. Elb.

225. Χο. praef. A. Versum om. Bodl. 1. *βρεκεκεκὲξ* R.V.Φ. &c. *βρεκέκεξ* A.T.Δ.

ΔΙ. ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ·
οὐδὲν γάρ ἐστ' ἀλλ' ἢ κοάξ.
ΒΑ. εἰκότως γ', ὦ πολλὰ πράττων.
ἐμὲ γὰρ ἔστερξαν μὲν εὔλυροί τε Μοῦσαι
καὶ κεροβάτας Πὰν ὁ καλαμόφθογγα παίζων.
προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον

226. ἀλλ' om. V. κοὰξ A.V.Φ. κοὰξ κοὰξ R. (s. Bekk.) Mut. 1. Bodl. 1. Cant. 1. Reisig. C. p. 194. κοὰξ ter R. Med. 4. Fritzchius tres hinc versus efficit, quibus respondeant vv. 240-242, sic: ἀλλ' ἐξόλοισθ', ὦ κοὰξ, | αὐτῷ κοάξ· οὐ γὰρ ἄλλ' | οὐδέν ἐστ' ἀλλ' ἢ κοάξ. (ὦ κοὰξ, ut in v. 222; et de οὐδὲν ἄλλο ἀλλ' ἢ vide ad Pl. 1172.) Similiter fere Hermannus apud Fritzchium: ἀλλ' ἐξόλοισθ', ὦ κοὰξ, | αὐτῷ κοάξ· οὐ γάρ ἐστ' | ἄλλο γ' ἢ κοὰξ κοάξ.

227. Hunc v. om. Mut. 1. in margine habet A. ἔστ' R. Med. 4. om. A. Fort. ἴστ' aut ᾖστ'. Cf. 740. ὅστις γε πίνειν οἶδε καὶ βινεῖν μόνον. 252. et ad Av. 19. τὼ δ' οὐκ ἄρ' ᾔστην οὐδὲν ἄλλο πλὴν δάκνειν. Sed cf. 439. 1130. et Schol. ad v. prox. εἰκότως οὐδὲν ἄλλο ἐσμὲν ἢ κοάξ. ἀλλ' Med. 4. Dind. Kock. ἄλλ' R.V. Ald. Br. Bo. Th. Fr. Mein. ἄλλο γ' A. Borg. κοὰξ semel V.Φ. &c. κοάξ bis A.R.X. Med. 4. Bodl. 1. Cant. 1.

228. Ita vulgo: εἰκότως . . . πράτ-|των . . . Μοῦσαι. (Et sic Dind. Ko.) Ita constituit Reisig. C. p. 195: εἰκότως γ' . . . πράττων· | ἐμὲ γὰρ . . . Μοῦσαι. (Sic Dind. in Metris. Bergk. Mein.) Hermannus sic: εἰκότως γ', ὦ | πολλὰ . . . ἔστερ-|ξαν μὲν . . . | καὶ κεροβάτας . . . καλαμό-|φθογγα . . . προσεπιτέρπε-| ται . . . Ἀπόλλων. Qui μὲν addidit v. 229. Fritzchius: εἰκότως . . . πράττων·| ἐμὲ γὰρ εὔλυροί τε Μοῦσαι | ἔστερξαν, [ἐμὲ δὲ] καὶ κεροβάτας &c. χο. praef. A. εἰκότως γ' R.V.Δ. (supr. σὺ) Θ. Dind. recc. εἰκότως σύ γ' A.D.S.Φ.X. Borg. Urb. Cant. 1. Harl. 1. 3. εἰκότως ἔγωγ' M.T.W.Y.Z.Ω. Cant. 2. vulg.

229. ἔστερξαν libri et vulg. Ko. Mein. ἔστερξαν μὲν Herm. Dind. (in Metris) Bergk. ἔστερξαν μάλ' Reisig. Conj. p. 195. Scilicet ut sit versus troch. trim. acat. Fritzchius sic: ἐμὲ γὰρ εὔλυροί τε Μοῦσαι | 'στερξαν, [ἐμὲ δὲ] καὶ κεροβάτας | Πὰν ὁ καλ. παίζων· | προσεπιτέρπεται δ' [ἐπαΐων] ὁ φορμικτὰς Ἀπόλλων. εὔλυροι] An εὐλύραι? Sic Th. 969. τὸν εὐλύραν μέλπουσα. Eur. Alc. 587. εὐλύρας Ἀπόλλων. Sed Eur. Licymn. Fr. 4. Ἄπολλον εὔλυρε (εὐλύρα?).

230. καὶ κεροβάτας] Corrigendum fortasse κεροβάτας τε. κεροβάτας M.R.T.V.W.Y.X.Ω. Harl. 3. κερωβάτας S.Z.Δ.Θ.Φ. Mut. 1. κερωβότας A. κερωβάτης Cant. 1. καλαμόφογγα V.

231. φορμικτὴς Bodl. 1. Cant. 1. Harl. 1. 3. φορμιγκτὰς Mut. 1. Quae forma legitur in Inscr. Orchom.

232. ὑπολύριον libri et vulg. ὑποβρύχιον ingeniose Bentleius. I. e. *sub aqua submersam* (arundinem). Cf. Hom. Il. 33, 12. τὴν δ' ἄνεμός τε μέγας καὶ κῦμα θαλάσσης | θῆκαν ὑποβρυχίαν. Herod. 1, 189. Plat. Phaedr. 248 A. Lucian. Dips. 3. Eodem sensu ὑπόβρυχος et ὑπόβρυξ, Hom. Od. 5, 319.

ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
χὠ πρωκτὸς ἰδίει πάλαι,
κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ—
ΒΑ. βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἀλλ', ὦ φιλῳδὸν γένος,
παύσασθε. ΒΑ. μᾶλλον μὲν οὖν
φθεγξόμεσθ', εἰ δή ποτ' εὐ-
ηλίοις ἐν ἁμέραισιν

Herod. 7, 130. Neque objiciat quis tautologiam sic fore in epithetis ὑποβρύχιον et ἔνυδρον; nam ὑποβρύχιος significat *submersus ita ut non cerni possit, celatus*, cui contrarium opponitur ἐπιπολάζων Lucian l. l., ἔνυδρος simpliciter *in aqua jacens* aut *crescens*. Sed vide comm.

234. τρέφων A.

235. βρεκεκὲξ A. non R.V. &c.

236. γ' add. A.D.R.V.Φ. &c. Ald. om. M. Elb. Mut. 1. Br.

237. χ' ὦ R.

238. κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ vulg. Reponendum, ni fallor, κἀγὼ αὐτίκ' (nisi malis κἀγαυτίκ') ἐγκύψας ἐρῶ. Vix enim apte ipse podex ἐγκύπτειν aut λέγειν τι diceretur. Eadem autem crasis est in Nub. 901. ἀλλ' ἀνατρέψω 'γὼ αὔτ' ('γαὔτ' Dind.) ἀντιλέγων. Vulgo per tropum quendam hoc dici existimant interpretes pro eo quod dici debeat, ἐγκύψαντος ἐμοῦ ἐρεῖ ὁ πρωκτὸς &c. κᾆτ' αὐτίκ'] κᾆτ' αὖθις conj. Herm. in El. D. M. Fort. κεἰς αὐτίκ', ut Pac. 367. εἰς αὐτίκα μάλ'. In Thesm. 482. pro κᾆτ' εὐθὺς legendum forsan κἀγὼ εὐθύς. ἀγκύψας (aut αὐτίκα 'γκύψας) D. Bodl. 1. κοὰξ semel ponit Mut. 1.

239. Haec, Dionyso vulgo continuata, Ranis aut Ranarum Choro tribuunt, lineola post ἐρεῖ posita, Reisig. Conj. p. 195. Fr. Ko. Bergk. Mein. non Dind. Dionysi cantum comice hic a Ranis interpellari monuit Fritzchius. Longe enim aliud dicturus erat Dionysus (ut παπαπαππὰξ, Nub. 390), sed orationem ejus cantu suo interrumpunt, risus spectatorum movendi causa. "Qui stropham contulerit, eodem loco eosdem a Choro tolli clamores videbit." FRITZCH. βρεκεκὲξ κοάξ (semel) A. κοὰξ semel Mut.

240. ΔΙ. add. Med. 4. solus opinor. Reisig. &c. om. A.R. &c. vulg. παύσασθέ μοι τοῦ κοὰξ Reisig. C. p. 195.

241 seq. Ita Reisig. C. p. 195: μᾶλλον μὲν οὖν φθεγξόμεσθ', | εἰ δή ποτ' εὐηλίοις | ἁμέραισιν ἡλάμεσθα | διὰ κυπείρου καὶ φλέω χαίροντες ᾠδῆς | πολυκολύμβοισιν μέλεσσιν, ἢ Διὸς φεύγοντες ὄμβρον, ἔνυδρον ἐν βυθῷ χορείαν | &c. ΧΟ. μᾶλλον . . . A.R.

242. φθεγξύμεσθ' R. Med. 4. φθεγξόμεθ' A.V.Z.Φ. Cant. 1. Mut. 1. vulg. φθεγξώμεθ' Cant. 2. Herm. El. D. M. φθεγγόμεθ' M. δήποτε R. εὐηλίοις ἐν] εὐηλίοισιν ἐν Cant. 1. Fort. εὐηλίοισιν ἁμέραισιν. Idem malit Mein.

243. ἁμέραισιν] ἁμέραισι A. ἁμέραις Cant. 1. ἡμέραισιν D.

ἡλάμεσθα διὰ κυπείρου
καὶ φλέω χαίροντες ᾠδαῖς
καὶ πολυκολύμβοισι μέλεσιν,
ἢ Διὸς φεύγοντες ὄμβρον
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλαν ἐφθεγξάμεσθα
πομφολυγοπαφλάσμασι.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. βρεκεκεκὲξ κοὰξ κοάξ.
τουτὶ παρ' ὑμῶν λαμβάνω.
ΒΑ. δεινὰ τἄρα πεισόμεσθα.

243. ἡλάμεθα D.R.S.T.V.Z.Δ.Θ.Φ.X. Med. 4. Bodl. 1. Mut. 1. ἡλάμεθα A. ἡλώμεθα Bodl. 1. ἡλλάμεθα Y. ἡλλάμεσθα M.Ω. ἡλάμεσθα Ald. Br. vulg. ἀλάμεσθα Th.

244. φλέω V. &c. φλεῶ R. φλέως A. ᾠδῆς vulg. ὠδῆς A. Dedi ᾠδαῖς. Qu. ᾠδᾶς τᾶς πολυκολύμβοιο μέλεσιν.

245. πολυκολύμβοισι μέλεσιν R.V.Φ. Suid. in φλέω. Bentl. Th. Bergk. Ko. πολυκολύμβοις . . . Z. Mut. 1. Ald. Br. πολυκολύβοις . . . M. πολυκαλαμβίοις μέλεσι A. (ut vid.) πολυκολύμβοισιν μέλεσσιν Reisig. Bo. Mein. πολυκολυμβήτοισι μέλεσιν Fr. ἐν πολυκολύμβοισι Herm. Dind. Ex his praestare videatur Fritzchii emendatio πολυκολυμβήτοισι μέλεσιν, qui conferri jubet Blomf. ad Pers. 108. Verbalia adjectiva modo passivo, modo activo, sensu usurpari notissimum est. Ipse tentabam τοῖς πολυκολύμβοισι (vel τᾶς πολυκολύμβοιο) μέλεσιν. Facile absorberi potuisset syllaba τῆς propter praecedens δῆς in ᾠδῆς, proclivis autem fuit depravatio -βοιο in -βοισι. Cf. Anacreont. 43, 11. φιλολοιδόροιο (-ροισι cod.) γλώττης. Vel, quod magis placet, χαίροντες ᾠδαῖς | πολυκολύμβοισίν τε μέλεσιν, vel . . . καὶ πολυκολύμβοισι μέλεσιν. Vide etiam Add. Certe non bene dicitur χαίρειν ἔν τινι.

248. ἐφθεγξάμεσθα M.R.V.Ω. Ald. ἐφθεγξάμεθα A.D.S.T.Y.Z.Φ.X. Bodl. 1.

249. πομφολυγοπαφλάσμασιν R.V. Bodl. 1. &c. vulg. πομφολυγοπλάσμασι A. Cant. 1. 2. Elb.

250. Haec Choro cont. R. vulg. Br. ΔΙ. praef. V. Bentl. Th. Ko. Iterandum hunc versum et hic et post vv. 256. 261. primus docuit Fritzchius, qui sic totius loci, adhuc nequaquam intellecti, vim et sensum restituit. Nunc non est cur haereamus in isto τουτὶ v. 251. et τούτῳ v. 262. Viam quidem monstraverat jamdudum Bentleius scribendo βρεκ. κοὰξ κοὰξ | τουτὶ &c. et in v. 262. βρεκ. κοὰξ κοὰξ | τούτῳ &c., sed non intellexerat versum integrum sententiae causa inserendum, neque his verbis quasi fundamentis sensum verborum τουτὶ . . . λαμβάνω innixum esse, ut monet Fritzch. Idem docet rationem metricam postulare ut versus iste aut ter addatur, aut ne semel quidem. Fritzchium secuti sunt Mein. Dind. βρεκεκὲξ A.

251-266. Tres pari magnitudine strophas (251-256. 257-261. 262-266) cum Seidlero et Hermanno constituit Fritzch. ΔΙ. τουτὶ παρ' ὑμῶν λαμβάνω libri et vulg. Dind. Bergk. ΔΙ. βρεκεκεκὲξ κοὰξ κοάξ. | τουτὶ παρ' ὑμῶν λαμβάνω Fr. Ko. Mein.

253. ΧΟ. in A.R. Nulla persona in Med. 4. δεινά τ' ἄρα V. δειναχ

ΔΙ. *δεινότερα δ' ἐγώ γ', ἐλαύνων*
εἰ διαρραγήσομαι.
ΒΑ. *βρεκεκεκὲξ κοὰξ κοάξ.*
ΔΙ. *βρεκεκεκὲξ κοὰξ κοάξ.*
οἰμώζετ'· οὐ γάρ μοι μέλει.
ΒΑ. *ἀλλὰ μὴν κεκραξόμεσθά γ'*
ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
χανδάνῃ δι' ἡμέρας
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. *βρεκεκεκὲξ κοὰξ κοάξ.*
τούτῳ γὰρ οὐ νικήσετε.
ΒΑ. *οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.*
ΔΙ. *οὐδὲ μὴν ὑμεῖς γ' ἐμὲ*

(sic) R. *δεινὰ γὰρ* R. (s. Bekk.) *δεινά γ' ἄρα* A.M.Y.Z.Δ.Θ.Φ.X.Ω. Med. 4. *δεινά γ' ἆρα* S. Borg. Reisig. Th. *δεινὰ τἄρα* Elmsl. ad Ach. 323. Fr. Mein. *δεινὰ τᾶρα* Dind. Ko. Bergk. *πεισόμεθα* R. Post *πεισόμεσθα* in A. illata est annotatio scholiastae, *εἰ σιγήσομεν.* Scribendum saltem fuisset *εἰ σιγησόμεσθα.*

254. ΔΙ. om. Med. 4. *ἔγωγ'* vulg. Praestat hic scribi *ἐγώ γ'.*

256. XO. in A.R. BAT. in Med. 4. *βρεκεκὲξ* A. Post hunc versum recte, opinor, addit Fritzchius, ΔΙ. *βρεκεκεκὲξ κοὰξ κοάξ.* Dionyso deinde continuat verba *οἰμώζετ'* &c. Ut vulgo Mein. Dind. Kock.

257. *οἰμώζετ'*] Malim *κοάζετ'* (cf. *πυππάζειν* formatum a *πυππάξ*).

258. XO. in R. Nulla persona in Med. 4. *κεκραξόμεθα* Φ.X. Bodl. 1. Elb.

259. *ἡ φάρυγξ* A.D.E.M.S.T.W. Med. 4. *ἡ φάρυξ* R.V.Y.X. Cant. 1. 2. *ἡ φάρηγξ* Mut. 1. *ὁ φάρυγξ* D.Φ. Urb. Cf. ad 571. Thom. Mag. p. 570. Casus obliqui hujus nominis sunt *φάρυγος φάρυγι φάρυγα.* Cf. e. g. Fr. 515.

260. *χανδάνει* A.

261. ΔΙ. praef. in R. Bentl. Th. Ko. Nulla persona in Med. 4. Post hunc versum *βρεκεκεκὲξ κοὰξ κοὰξ* inserunt (Dionyso tribuentes) Fr. Ko. Mein. Dind. Recte. Cf. ad 250. *βρεκεκὲξ* A. *βρεκκεκὲξ* (sic) Θ.

262. ΔΙ. praef. A. Med. 4. &c. Nulla persona in R. *τοῦτο* R. Fort. *τούτῳ γέ μ'* (*γ' ἔμ'*) *οὐ νικήσετε.* Sed nulla opus mutatione erit, modo ista *βρεκ. κ. κ.* repetas. Ita Reisig. C. p. 196: *τούτῳ γὰρ οὐ νικήσετ' ἔμεγε τῷ κοάξ.* *γ' ἄρ'* Mut. 1. *νικήσετέ με* Bodl. 1. *κινήσετε* M.

263. BAT. praef. A. Med. 4. XO. in R. *οὐδὲ μὴν ἡμᾶς* (*ὑμ.* pr. A.) *σὺ πάντως* A.Φ. *οὐδὲ μὴν ἡμᾶς γε σὺ πάντως* T. Bodl. 1. *οὐδὲ μὴν ἡμᾶς γε* (supr. *σὺ*) *πάντως* R. *ἀλλὰ μὴν ἡμεῖς σὲ πάντως* malit Bergk. E Ravennatis et Bodleiani lectione scriptum conjicias *οὐδὲ μὴν ἡμᾶς σύ γ' αὐτῷ* (sc. *τῷ κοάξ*).

264. bis. *οὐδὲ μὴν ὑμεῖς γ' ἐμὲ* A.R.T.V.Z.Θ.Φ.X. Med. 4. Bodl. 1. Cant. 1. Th. Ko. Bergk. (Quod retinui.) *οὐδὲ . . . γέ με* S. *οὐδὲ . . . γ' ἔμ'* Borg. *οὐδὲ . . . τ' ἐμὲ* Δ. Mut. 1. *οὐδὲ μὴν ὑμεῖς γε δή με* M.W.Y.Ω. edd. vett. *οὐδὲ μὴν ὑμεῖς γ' ἔμ' οὐδὲν* Reisig. C. p. 195. Haec, ut scholiastarum supplementa, ejiciunt Dind. Fr. Mein., cancellis includunt Ko. Bergk. Frustra. Versum quamvis mutilum et depravatum servandum esse ostendit vel istud *οὐδέποτε,*

οὐδέποτε· κεκράξομαι γάρ,
κἢν με δῇ δι' ἡμέρας,
ἕως ἂν ὑμῶν ἐπικρατήσω τῷ κοάξ,
  βρεκεκεκὲξ κοὰξ κοάξ.
ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
ΧΑ. ὢ παῦε παῦε, παραβαλοῦ τῷ κωπίῳ.
ἔκβαιν' ἀποδοὺς τὸν ναῦλον. ΔΙ. ἔχε δὴ τὠβολώ.

quod alioqui non haberet ad quod referretur. Scripserat, ni fallor, Comicus οὐδὲ μὴν πάντως ἔμ' ὑμεῖς.

264. οὐδεπώποτε A. Mut. 1.

265. Post hunc versum βρεκεκεκὲξ κοὰξ κοὰξ addunt Reisig. Conj. p. 196. Fr. Bergk. Mein. Dind. Recte fortasse. κἂν libri et vulg. Scribo ubique κἢν, quando crasis est pro καὶ ἤν. δῇ R.V. Dind. Bergk. δέῃ A. δέῃ Br. Fr. Ko. et (om. με) Cobet. Mein. δεῖ M.T.Y.Z.Δ.Θ.Φ.X.Ω. Cant. 1. 2. Mut. 1. Med. 4. Ald. Reisig. Conj. pp. 44. 196. Th. Vocem om. W. Bodl. 1. "Correxi jam in prima hujus fabulae editione ex libris R. et V., monuique formam subjunctivi monosyllabam etiam aliis comicorum versibus esse restituendam, quibus synizesis adhiberi nequit, velut Aristoph. Plut. 216. Philetaeri apud Athen. 10. p. 416 f. Menandri apud Plut. Vit. Alex. c. 17. apud Stob. Floril. 15, 5. Antiquissimum hujus contractionis exemplum est δῆσεν in Iliad. σ. 100. ἔφθιτ', ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι. Sophron apud Athenaeum 7. p. 306 D. ἁ δὲ γαστὴρ ὑμέων καρχαρίας, ὄκκα τινὸς δῆσθε. Δῆ pro δεῖ male scriptum in R. Equit. v. 963. 964." DIND. Cf. Pl. 216. ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἢν δῇ (κἂν δεῖ vulgo. κεἰ δεῖ pauci libri) μ' ἀποθανεῖν. et ad Ach. 924. Inscr. Corc. 1845, 138. καθὼς κα δῇ. Menandri locus (Plut. Alex. 17) est, κἂν διελθεῖν δηλαδὴ | διὰ θαλάττης δῇ τύπον ('s τύπον ?) τίν' &c. Ejusdem (Stob. Fl. 15, 5) ἂν δῇ δὲ φείσασθαί τι τοῦ γήρως χάριν. Philetaeri (Athen. 416 F.) κἂν δῇ (δέῃ libri), τροχάζω &c. Cobeti lectionem confirmat quodammodo locus Vesp. 221. οὐκοῦν, ἢν δέῃ, | ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν. ἡμέρας ὅλης X.

266. ΔΙ. praef. in Med. 4. ἂν om. M. κρατήσω T. Bodl. 1. τῷ S.Δ.Θ corr. Φ. Borg. Ald. Fr. Ko. Bergk. τῶ A. τὸ R.T.V.Z. Mut. 1. Med. 4. (supr. ῶ) Bodl. 1. Harl. 1. 3. Cant. 1. τοῦ C.E.M.W.X.Ω. Cant. 2. Elb. Br. Reisig. Conj. p. 196. Th. Dind. Mein. οὐ (sic) Y. Praestat, opinor, τῷ κοάξ. Cf. 262. τούτῳ γὰρ οὐ νικήσετε. κοὰξ κοάξ V.

267. ΧΟ. praef. A.M.R.(?)S.Y.X.Ω. Med. 4. Ald. Br. Dionyso continuant V.Z.Φ. Mut. 1. &c. Dind. recc. Versum om. T. Bodl. 1. βρεκεκὲξ A.Δ.

268. ΔΙ. praef. A. Med. 4. Dionyso continuant R.V. Bodl. 1. &c. ἆρα A. ποτε R. ποθ' ὑμᾶς παύσειν A. τοῦ] τῶ pro v. l. inter lineas in Bodl. 1. Quod spectat, opinor, ad v. 266.

269. ὦ vulg. Fr. ὢ Dind. Ko. Mein. τῶ κοπίω A. παραβαλοῦ τῷ κωπίῳ] An παραβαλοῦ τὸ κυμβίον? Cf. Eq. 762. τὴν ἄκατον παραβάλλου. supra 180. Κύμβη cymba legitur Soph. Fr. 129.

270. τὸν M.R.V.Φ. Med. 4. Cant. 2. Mut. 1. Suid. in ναῦλος. τὸ A. Bodl. 1. Harl. 1. 3. Cant. 1. Copiose hic de nominis hujus genere disquisivit Fritzch. ἀπόδος vulg. ἀποδοὺς Halbertsma. Recte, ni fallor. τὼ 'βολὼ A.

ὁ Ξανθίας. ποῦ Ξανθίας; ἢ Ξανθίας;
ΞΑ. ἰαῦ. ΔΙ. βάδιζε δεῦρο. ΞΑ. χαῖρ', ὦ δέσποτα.
ΔΙ. τί ἐστι τἀνταυθί; ΞΑ. σκότος καὶ βόρβορος.
ΔΙ. κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι
καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν; ΞΑ. σὺ δ' οὔ;
ΔΙ. νὴ τὸν Ποσειδῶ 'γωγε, καὶ νυνί γ' ὁρῶ.
ἄγε δή, τί δρῶμεν; ΞΑ. προϊέναι βέλτιστα νῷν,
ὡς οὗτος ὁ τόπος ἐστὶν οὗ τὰ θηρία
τὰ δείν' ἔφασκ' ἐκεῖνος. ΔΙ. ὡς οἰμώξεται.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ,
εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς.
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινι,
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.
ΞΑ. νὴ τὸν Δία καὶ μὴν αἰσθάνομαι ψόφου τινός.
ΔΙ. ποῦ ποῦ 'στ'; ΞΑ. ὄπισθεν. ΔΙ. ἐξόπισθέ νυν ἴθι.

271. ΔΙ. om. A. Ko. Mein. ἢ Ξανθίας A.M.Φ. &c. vulg. ἢ ποῦ Ξανθίας R. ἢ Ξανθία V. Fr. Bergk. Ko. ποῦ Ξανθίας Dind. Fritzchius ἢ pro interjectione (ut ὠή, *eho*, *Xanthia*) accipit, absque signo interrogationis. Lectionem Ξανθία suspicor pertinere ad praecedens ὁ Ξανθίας (ὦ Ξανθία, ut in 524).

273. ΔΙ. om. A. τἀνταυθοῖ libri et vulg. Th. Fr. Ko. Bergk. τἀνταυθί Dind. Mein. ΞΑ.] ΔΙ. praef. A.

274. ΞΑ. praef. A. κατεῖδες] Fort. κᾆτ' εἶδες. Sed vereor ut occurrant particulae κᾳτα . . . οὖν.

275. ΞΑ.] ΔΙ. A. δ' om. A.

276. ΔΙ.] ΞΑ. praef. A. ἔγωγε (aut 'γωγε) A.M.R.S.V.Y.Z.Φ.Ω. γε T.X. Bodl. 1. καὶ νυνί γ' A.M.R.S.T.W.Y.Φ.X.Ω. καὶ νῦν γ' Z. καὶ νυνὶ δ' V. Sed cf. 313. ἔγωγε, καὶ δᾴδων γέ με &c.

277. ΔΙ. praef. A. δρῶ M. ΞΑ. om. A. βέλτιστον Bodl. 1. νῷν] νοὶ V. Unde νὼ conj. Kock. Cf. ad Eq. 80.

278. ΞΑ. praef. A.

279. τὰ δείν' ἔφασκ' ἐκεῖνος] εἶναι τὰ δείν' ἔφασκεν Hamaker. Recte, opinor. Cf. 319. οὓς ἔφραζε νῷν. ἔφασκεν M. Elb.

281. φιλοτιμούμενος] φιλότιμον γένος V.

282. γαῦρον ἔσθ' A.

283. τινί A.

286. ποῦ ποῦ A.D.R. (s. Bekk., sed fallitur) S.V.Z.Δ.Θ.Φ. Mut. 1. Urb. Med. 4. Lenting. Ko. ποῦ ποῦ 'στ' W.X. Ald. ποῦ ποῦ 'στιν C.E.M.R.T.Y.Ω. Bodl. 1. Borg. Elb. Dobr. Dind. Th. Fr. Bergk. Mein. 'ξόπισθεν D.V.Φ. Urb. Lenting. Ko. ἐξόπισθεν R.T.Y. Elb. Cant. 1. Bodl. 1. Dobr. Dind. Th. Fr. Bergk. Mein. ὄπισθεν A.M.S.W.Z.Δ.Θ.X.Ω. Borg. Med. 4. Mut. 1. Ald. Br. ἐξόπισθε νῦν ἴθι M.Z.Δ.Θ.Φ. Borg. Mut. 1. Med. 4. Ald. Br. ἐξόπισθεν νῦν ἴθι A.S.T.W.Y. ἐξόπισθεν αὖ ἴθι V. ἐξόπισθεν ἴθι R. ἐξόπισθ' ἴθι Dobr. Dind. Th. Fr. Bergk. Mein. ἐξόπισθέ νυν ἴθι Lenting. Ko. Recte. Eadem

ΞΑ. ἀλλ' ἔστιν ἐν τῷ πρόσθε. ΔΙ. πρόσθε νυν ἴθι.
ΞΑ. καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα.
ΔΙ. ποῖόν τι; ΞΑ. δεινόν· παντοδαπὸν γοῦν γίγνεται,
τοτὲ μέν γε βοῦς, νυνὶ δ' ὀρεύς, τοτὲ δ' αὖ γυνὴ
ὡραιοτάτη τις. ΔΙ. ποῦ 'στι; φέρ' ἐπ' αὐτὴν ἴω.
ΞΑ. ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων.
ΔΙ. Ἔμπουσα τοίνυν ἐστί. ΞΑ. πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον. ΔΙ. καὶ σκέλος χαλκοῦν ἔχει;
ΞΑ. νὴ τὸν Ποσειδῶ. ΔΙ. καὶ βολίτινον θάτερον;

dictione utrumque uti decere, nec bene abesse voculam νυν recte monuit Lenting. Ἐξόπισθε legitur etiam Eq. 22. ἐξόπισθε νῦν | αὐτὸ φαθὶ τοῦ μόλωμεν. Ach. 260. 868. Philem. (Mein. IV. 45.) Com. anon. (IV. 687.) Sed ἐξόπισθεν nusquam legitur apud nostrum, et semel tantum apud comicos in Axionici loco (Mein. III. 530.) μεθύουσά τ' ἐξόπισθεν ἡ σοφωτάτη . . . πορεύεται. Contra ὄπισθεν saepius apud nostrum et reliquos comicos occurrit, ὄπισθε nusquam, nisi quod varia lectio est pro ὄπισθεν in Eupolidis loco (Mein. II. 562). Praestat ergo fortasse scribi ποῦ ποῦ 'στ'; ΞΑ. ὄπισθεν. ΔΙ. ἐξόπισθέ νυν ἴθι. Cf. 291. ποῦ 'στι; 483. ποῦ 'στιν; Languet certe versus omissa particula νυν.

287. ἔστιν A. vulg. Fr. ἐστὶν Dind. Mein. πρόσθε R.T.V. πρόσθεν A.S. Elb. πρόσω Med. 4. πρόσθε νῦν M.R.V.Y.Φ. Med. 4. πρόσθεν νῦν A.W.Z. Elb.

288. καὶ μὴν ὁρῶ νὴ τὸν Δία] καὶ μὴν ὁρῶ γε νὴ Δία Cobet. Ipse jampridem conjeceram καὶ μὴν ὁρῶ γε νηδί. Cf. ad Ach. 107.

289. οὖν A. Bodl. 1. γίγνεται R.V. &c. γίνεται A.

290. τότε . . . τότε M.R.S.W.X.Ω. Δ. in marg. Suid. in ἔμπουσα. Th. Bergk. ποτὲ . . . ποτὲ A.T.V.Y.Δ. Elb. Bodl. 1. Mut. 1. Br. Dind. Mein. ποτὲ . . . τότε D.F.Φ. Cant. 1. τοτὲ . . . τοτὲ Ald. Fr. Ko. Eadem discrepantia est in Eq. 540. τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί. Praestat, opinor, τοτὲ . . . τοτὲ . . . Cf. e. g. Av. 1398. τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδὸν, | τοτὲ δ' αὖ βορέᾳ &c. 76. τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικὰς, &c. Soph. Oed. C. 1745. τοτὲ μὲν . . . τοτὲ δὲ . . . Dinarch. I. 73. τοτὲ μὲν εὖ, τοτὲ δὲ φαύλως (ποτὲ . . . ποτὲ Z). I. 97. τοτὲ μὲν . . . τοτὲ δὲ . . . Isae. V. 13. τοτὲ μὲν . . . τοτὲ δ' (al. ποτὲ δ') . . . Xen. 3, 10, 14. τοτὲ μὲν . . . τοτὲ δὲ . . . 3, 10, 15. 4, 2, 21. Epich. Fr. 124. τόκα μὲν . . . τόκα δέ. γε add. A.R.V.Φ. Cant. 1. 2. Urb. Bodl. 1. Suid. om. D. Elb. Mut. 1. Ald. δ' αὖ R.V.Φ. &c. Ald. Dind. recc. δὲ A. (solus, opinor) Br. Cf. Av. 1398.

291. τίς A. ποῦ 'στ' εἶφ'· ἐπ' M.

293. ἔμπουσσα V. hic et v. 305. τοίνυν D.R.Φ. Bodl. 1. Suid. Br. τοίνυν γ' A.M.V. Mut. 1. Ald. λάμπεται] Fort. δαίεται. Cf. Lys. 1284.

